« Τὸ πρὸ ἡμερῶν ἀποσταλέν μοι ἀθέμιτον ἐκεῖνο γράμμα πᾶσαν σχεδὸν ἀφεῖλεν ἀπ' ἐμοῦ τῆς καλῆς τοῦ ποθουμένου ἐκβάσεως τὴν ἐλπίδα· τὸ αὐτὸ πάλιν καὶ διὰ τῆς τιμίας σου χειρὸς ἀπέσταλταί μοι, ἀλλὰ κεκολασμένον ἐν μέρει ὑπό τοῦ συμπεριεχομένου γραμματιδίου, δι' οὗ δέδοταί μοι ἡ τῆς προσθαφαιρέσεως ἐξουσία, εἰς τρόπον ὅμως (λέγει τὸ γραμματίδιον) κεκαλυμμένον. Ἐπειδὴ οὖν αὐτάρκως διὰ τῆς ἀποκρίσεώς μου τὴν δολιότητα τοῦ προδιαληφθέντος γράμματος κατεστηλίτευσα, περὶ τοῦ κεκαλυμμένου τρόπου ὀλίγα τινὰ προστίθημι. Κεκαλυμμένη μὲν ἔστω, ἀγαπητέ μοι ἀδελφέ, ἡ ἁμαρτία, ἵνα μὴ οἱ αὐτὴν ὁρῶντες σκανδαλιζόμενοι βλάπτωνται, κεκαλυμμένη γενέσθω καὶ τῆς ἀρετῆς ἡ ἐργασία, ἵνα μὴ οἱ βλέποντες ἐπαινῶσι καὶ οὕτως οἱ κατορθοῦντες τὸν μισθὸν αὐτῶν ἀπέχωσιν· ἡ δὲ πίστις καὶ ὅσα περὶ αὐτὴν ἀπαρακαλύπτως καὶ πεπαρρησιασμένως ἀνακηρυττέσθω. Ἀκολοῦμεν ἐνώπιον βασιλέων κατὰ τὴν προφητικὴν παρρησίαν χωρὶς τινος συστολῆς ἢ αἰσχύνης· « καὶ ἐλάλουν ἐναντίον βασιλέων καὶ οὐκ ἠσχυνόμην ». Παντὸς μὲν ἄλλου πράγματος ἀποστρεφόμεθα τὴν καύχησιν ὡς βαρυτάτην ἀνομίαν, ἐν δὲ τῇ ὀρθότητι τῆς πίστεως ἀνακεκαλυμμένῳ προσώπῳ καὶ ψυχῇ θαρσαλέᾳ καυχώμεθα διὰ τὴν ἐντολὴν τὴν κελεύουσαν· « ἀλλ' ἢ ἐν τούτῳ καυχάσθω ὁ καυχώμενος ἐν τῷ συνιεῖν καὶ γινώσκειν τὸν Κύριον ». ἐκεῖνο γάρ, ὅπερ πιστεύομεν τῇ καρδίᾳ, τοῦτ' αὐτὸ διὰ τὴν ἀποστολικὴν νομοθεσίαν ὁμολογοῦμεν τῷ στόματι· « καρδίᾳ γὰρ πιστεύεται εἰς δικαιοσύνην, στόματι δὲ ὁμολογεῖται εἰς σωτηρίαν ». Διατί δὲ ταῦτα οὕτω πρέπει νὰ γίνωνται; διὰ τὴν φοβερὰν τοῦ Θεοῦ ἀπόφασιν· « πᾶς οὖν ὅστις ὁμολογήσει ἐν ἐμοὶ ἔμπροσθεν τῶν ἀνθρώπων, ὁμολογήσω κἀγὼ ἐν αὐτῷ ἔμπροσθεν τοῦ Πατρός μου τοῦ ἐν οὐρανοῖς· ὅστις δ' ἂν ἀρνήσεταί με ἔμπροσθεν τῶν ἀνθρώπων, ἀρνήσομαι αὐτὸν κἀγὼ ἔμπροσθεν τοῦ Πατρός μου τοῦ ἐν τοῖς οὐρανοῖς ». Σημείωσον τὸ *ἐν ἐμοί*, ὅπερ δηλοῖ αὐτόν τε καὶ πάντα τὰ ἐν αὐτῷ καὶ περὶ αὐτοῦ πιστευόμενα. Θὲς πρὸς ὀλίγον συγχωρητὸν τὸν κεκαλυμμένον τρόπον· μάταιοι εὐθὺς οἱ ὑπέρμετροι τῶν Ἀποστόλων ἀγῶνες, παράλογος τῶν ὁμολογητῶν ὁ θάνατος, ἀπερίσκεπτος ἡ ἔκχυσις τοσούτου μαρτυρικοῦ αἵματος, διατὶ διὰ τοῦ κεκαλυμμένου τρόπου ἐδύναντο ν' ἀποφύγωσιν ἀκατακρίτως ἅπαντα οἱ ἁθλήσαντες τὰ ἆθλα καὶ τὰ σκάμματα. Ὁ κεκαλυμμένος τρόπος καθίστησι τὴν πίστιν ὑπόκρισιν, τὸ κήρυγμα ὑπουλότητα, τὰ περὶ Θεοῦ παιζόμενα καὶ παίγνιον. Βλέπεις πόσα ἄτοπα; Οὐ προσκυνήσεις, λέγει ὁ Θεός, οὐδὲ λατρεύσεις αὐτοῖς· προσκυνοῦμεν διὰ τοῦ σώματος, λατρεύομεν διὰ τῆς ψυχῆς. Καὶ ἐπειδὴ δύναταί τις ὑποκριτὴς ὢν καὶ τὸν κεκαλυμμένον τρόπον μετερχόμενος ἄλλο μὲν νὰ προσκυνῇ διὰ τοῦ σώματος, ἄλλο δὲ νὰ λατρεύῃ διὰ τῆς ψυχῆς, διὰ τοῦτο ἐντέλλεται ὁ πάνσοφος Θεός, « οὐ προσκυνήσεις οὐδὲ λατρεύσεις αὐτοῖς »· χωρίς τινος ὑποκρίσεως καὶ τρόπου κεκαλυμμένου, ἀλλ' ἐν ἀληθείᾳ καὶ πνεύματι οἱ ἀληθινοὶ προσκυνηταὶ πρέπει νὰ προσκυνῶσι καὶ νὰ λατρεύωσι τῷ Πατρὶ τῷ ἐν τοῖς οὐρανοῖς. Ταῦτα, εὐσεβέστατε, μελέτα καὶ ἐν τούτοις ἴσθι, ἵνα σου ἡ προκοπὴ φανερὰ ᾖ ἐν πᾶσι ».

—

Νικολάῳ Καρέλλῃ κυβερνήτῃ τῆς Ἐνετίας τοῦ ἁγίου Γεωργίου ἐκκλησίας.

« Τῆς ἐμῆς ἀποτυχὼν ἐντεύξεως οὐδενὸς ἀγαθοῦ ἐστέρησας· διότι ἡ μὲν φήμη ἰσχυράτις ἴσως καὶ βαρεῖα, ὁ δὲ φημιζόμενος ἀσθενὴς καὶ οὐδενὸς λόγου ἄξιος, ὡς αὐταῖς ὄψεσιν ὄψει, εἰ Θεοῦ εὐδοκία ἐστίν, ἵν' εἰς τὰ αὐτόθι ἔλθω. Περὶ δὲ τῆς ζητουμένης ἐπιστολῆς, ἐπειδὴ εἰς τοῦτο νῦν κατηντήσατε, εἰς τὸ παραδέχεσθαι μὲν τὰ ῥήματα τὰ συνιστῶντα τὸ τῆς ὀρθοδοξίας δόγμα ἄτεγκτα καὶ καθαρὰ καὶ ἀναλλοίωτα, ὡς εὐσεβεῖς καὶ ζηλωταί, ἐπιζητεῖν δὲ μόνην τὴν τῶν ἐλέγχων ἀφαίρεσιν καὶ ταύτην διὰ τοὺς κρατοῦντας, ἰδοὺ ὑπακούσας στέλλω πρὸς τοὺς συνεπιτροπεύοντάς σοι τὴν ἐπιστολήν. Κατ' ἐντολὴν δὲ ἦσαν καὶ οἱ ἔλεγχοι· καὶ γάρ, « ἔλεγξον, φησίν, ἐπιτίμησον »· ἐξήλεγξα τοὺς ῥύπους, ὧν ὑμεῖς μὲν καθαροὶ καὶ ἁθῷοι, οἱ δὲ παγκάκιστοι καὶ παμπόνηροι καὶ ἀπαταιῶνες καὶ θεοκάπηλοι ἐκεῖνοι, οἱ χρυσοῦ τὴν εὐσέβειαν ἀνταλλάξαντες καὶ κακῶς μὲν προεδρεύσαντες ἢ ἱερατεύσαντες, ἀνεπιστρεπτὶ δὲ καὶ τὸν βίον καταλύσαντες, αὐτοὶ ἦσαν οἱ ῥευπωμένοι καὶ παμβέβηλοι, οἱ καὶ τῇ αὐτοῦ ἐκκλησίᾳ τὸν ῥύπον προσεπιτρίψαντες καὶ κατὰ τοσοῦτον μόνον ὑμᾶς ῥυπώσαντες, καθ' ὅσον συγκοινωνεῖν αὐτοῖς ἀκοινωνήτοις οὖσιν ἠναγκάσθητε· κατεστηλίτευσα δὲ διὰ τοῦ ζεῖν καὶ τὸν κατεπονειδιστον καὶ μυρίων ἐλέγχων ἄξιον, τὸν θνητὸν μὲν ὄντα, καὶ τοῖς τοῦ βίου καὶ τῆς σαρκὸς αὐτοῦ πάθεσιν ἐγκαλινδούμενον, τὴν κεφαλὴν δὲ ὑπεράραντα καὶ ἑαυτὸν ἀποθεώσαντα, ὡς ὁ πάλαι μυθευόμενος Ἡρακλῆς· καὶ γὰρ ἀναμάρτητος, φησίν, εἰμὶ καὶ θεὸς τῆς γῆς, καὶ τ' ἄλλα τῆς ἀνοίας αὐτοῦ βλάσφημα ῥήματα, ὁ ἐξωλέστατος. Κατ' ἐντολὴν δὲ καὶ ἡ τῶν ἐλέγχων ἀφαίρεσις, διότι τῷ ἔλεγξον, ἐπιτίμησον, ἐπισυνῆπται καὶ τὸ παρακάλεσον ἐν πάσῃ μακροθυμίᾳ καὶ διδαχῇ. Ἰδοὺ οὖν τὸν ἔλεγχον ἀφελὼν παρακαλῶ ὑμᾶς διὰ τοὺς οἰκτιρμοὺς τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἵνα σὺν πάσῃ σπουδῇ καὶ ἐπιμελείᾳ πάντα κινήσητε καὶ πράξητε, ὅπως τὸ ζητούμενον δεκρέτον σαφὲς εἴη καὶ καθαρεῦον οὐ μόνον παντὸς λόγου τὴν ὀρθοδοξίαν ὁπωσδήποτε λυμαινομένου, ἀλλὰ καὶ πάσης ἀσεβείας καὶ ὁμωνυμίας, περιέχοι δὲ αὐταῖς λέξεσι τάδε τὰ ῥήματα. L'ARCIVESCOVO DI FILADELFIA NOSTRO suddito dipendente dalla Sede Patriarcale di Costantinopoli avrà sempre la libertà di professare li dogmi della chiesa orientale ed esercitare tutti i suoi riti. Διαμαρτύρομαι δὲ ὑμῖν ἐνώπιον τοῦ Θεοῦ καὶ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ τῶν ἐκλεκτῶν ἀγγέλων, ἵνα ταῦτα φυλάξητε χωρὶς προκρίματος μηδὲν ποιοῦντες κατὰ πρόσκλισιν· ἐὰν γὰρ ἀφαιρεθῇ τι ἢ προστεθῇ ἐναντίον, ἐγὼ μὲν μακρὰν ἀφ' ὑμῶν ἔσομαι πάσας τὰς ἡμέρας τῆς ζωῆς μου (μὴ μοι γὰρ γένοιτο πώποτε οὐδ' ἰῶτα ἢ κεραίαν μίαν τῆς ἀποστολικῆς ἀπταίστου παραλιπεῖν εὐσεβείας, ἣν ἡ μήτηρ μου ἡ ἁγία τοῦ Χριστοῦ Ἀνατολικὴ ἐκκλησία ἄριστά τε καὶ κάλλι-

στα ἐδίδαξέ με), ἡ αὐτοῦ δὲ ἐκκλησία ἀποκεκηρυγμένη ἔσται παρὰ τῶν ὀρθοτομούντων τὸν λόγον τῆς ἀληθείας καὶ ἀποτρόπαιος καθάπερ καὶ πρότερον.

» Ἀλλὰ καὶ περὶ τούτου, ἀδελφοί μου, πάντα κάλων κινήσατε, εἴτουν ἵνα ἐν τῷ δεκρέτῳ καὶ τῆς Δαλματίας ἀνάμνησις μικρὰ γένηται· καὶ γάρ, ὅταν οἱ ὀρθόδοξοι ἀρχιερεῖς τὰς χεῖρας ἐπὶ τὴν κεφαλὴν τοῦ χειροτονουμένου ἐπιθέντες τὴν τοῦ Παρακλήτου χάριν ἐπ' αὐτὸν ἐλθεῖν ἐπεύχωνται, καὶ τὸ ὄνομα προστιθέασι τῆς πόλεως, ἧς προχειρίζεται ἐπίσκοπος, ὅπως ἂν ὑπὸ τῆς χάριτος ἐπιρρωσθεὶς τὸν ἐκεῖ τοῦ Κυρίου ποιμάνῃ λαόν. Τοῦτο δὲ τότε μάλιστα νόμιμον ἔσται, ὅταν ἡ γαληνοτάτη Ἀριστοκρατία, ἡ κυρία οὖσα τῆς Δαλματίας, διὰ τοῦ σεβαστοῦ αὐτῆς ψηφίσματος ὁρίσῃ καὶ ὁ Κωνσταντινουπόλεως ἐπικυρώσῃ. Καὶ περὶ τούτου οὖν πᾶσαν φροντίδα ἀναλάβετε μηδὲ πόνων μηδὲ ἀναλωμάτων (ὧν καὶ αὐτός, εἰ βούλεσθε, μέρος συνοίσω), μηδὲ ἄλλου τινὸς φειδόμενοι τῶν ὅσα συνεισενεγκεῖν καὶ συμβοηθῆσαι δύνανται. Ὅταν δὲ τὰ πάντα τῇ προσηκούσῃ ἀκριβείᾳ ἐπιτελέσητε, τότε δὴ πολὺς ὁ μισθὸς ὑμῶν ἐν τοῖς οὐρανοῖς, καὶ τὰ ὀνόματα ὑμῶν εὐλογημένα ἀπὸ τότε καὶ ἕως τοῦ αἰῶνος. Γένοιτο ».

Τῷ αὐτῷ.

« *Καιρὸς τῷ παντὶ πράγματι*, εἰποῦσα ἡ Γραφή, καὶ ἀλλαχοῦ: *πάντα γὰρ ἐν καιρῷ εὐδοκιμηθήσεται*, ἐξεδίδαξεν ἡμᾶς τοὺς ἁρμοδίους ἐπιτηρεῖν καιροὺς πρὸς τὴν τῶν ἐν χερσὶν ἔργων εὐόδωσιν· καὶ ἡ φύσις δὲ τοῦ μαθήματος τούτου διδάσκαλος μηδὲν ἡμῖν ἔξωθεν παρέχουσα ἢ πρόωρον· παρατηρητέος ἄρα ὁ προσήκων καιρὸς καὶ ἐπὶ τῆς προκειμένης ὑποθέσεως. Βλέπετε δέ, μή τι τὸ τούτου ἀόριστον ζημίαν ἐμοὶ οὐ τὴν τυχοῦσαν ἐπιφέρει, περὶ ἧς βραδύτερον τοῖς τῇ σῇ συνεπιτροπεύουσι τιμιότητι ἔγραψα· ἀλλὰ γὰρ πάλιν τὰ προγραφέντα ἐπαναλήψομαι· τὰ αὐτὰ γὰρ γράφων ὑμῖν Παῦλος ἔλεγεν ὁ θεσπέσιος· « ἐμοὶ μὲν οὐκ ὀκνηρόν, ὑμῖν δὲ ἀσφαλές ». Προσέχετε μετὰ πάσης σπουδῆς καὶ ἐπιμελείας πάντα ὅσα δυνατὰ καὶ κινοῦντες καὶ πράττοντες, ἵνα τὸ ἀριστοκρατικὸν θέσπισμα μηδὲν τῶν τῆς Ἀνατολικῆς ἐκκλησίας δογμάτων ἢ θεσπισμάτων ἢ ἐθίμων ἐναντίον περιλαμβάνῃ· εἴη δὲ σαφές, καθαρόν, διηκριβωμένον, καὶ ὧν ῥημάτων χαρακτῆρσι μεγάλοις γράψας οὐχ ἅπαξ ἀλλὰ πολλάκις διὰ πολλῶν ἐπέστειλα περιεκτικόν· καὶ τῆς Δαλματίας μνημονευτικόν· εἰ γὰρ μίαν μόνην λέξιν τῶν τὰς θρησκείας διαλαμβανουσῶν διφορουμένην περιέξει, ὥστε παρὰ μέν τινων οὕτω παρὰ δέ τινων ἄλλως ἐκλαμβάνεσθαι καὶ ἀναπτύσσεσθαι, ἢ κεραίαν μίαν μόνην παπαλατρείας ἴχνος σημαίνουσαν ἢ καπνοῦ παπικοῦ ὄζουσαν, διαμαρτύρομαι ὑμῖν, ὅτι ἐγὼ μὲν μακρὰν ἀφ' ὑμῶν ἔσομαι πάσας τὰς ἡμέρας τῆς ζωῆς μου, ὑμεῖς δὲ εἰς μάτην κοπιάσετε ἐν τοῖς αὐτοῖς διαμείναντες καὶ οὐδὲν ἕτερον κερδίσαντες, εἰμὴ ὅ καὶ πρότερον εἴχετε ἄλλως πως ἐκπεφρασμένον πρὸς εὐχερεστέραν τυχὸν τῶν πονηροτέρων ῥᾳδιουργίαν. Ἔρρωσό μοι καθ' ἑκάτερον ».

Ἱερεμίᾳ Καββαδίᾳ τῷ ἐμῷ διδασκάλῳ.

« Τοὺς ἐμοὶ παραπλησίως περιστατουμένους, ἑπτότατέ μοι διδάσκαλε, οἱ μὲν ὑπὲρ τὸ δέον ἐπαινεῖν εἰώθασιν, οἱ δὲ καὶ μομφὰς παραλόγους προστρίβειν ὁρμῶσιν· ἵν' οὖν αὐτὸς ὁ καὶ ἐν πᾶσι τοῖς ἄλλοις καὶ φρονήμασι καὶ κινήμασι στάθμῃ χρώμενος καὶ τὴν μέσην ἀεὶ τέμνων τὴν βασιλικὴν καὶ ἐπὶ τὰ κατ' ἐμὲ ὁμοίως φρονῇς καὶ τοὺς ἄλλους διδάσκῃς, οὐκ ἔτι παρασιωπᾶν ἔγνων, ἃ μέχρι τοῦ νῦν πάντῃ ἑωλα τεκμαιρόμενος βαθείᾳ σιγῇ παραδέδωκα. Ὅθεν μὲν καὶ ὅπως καὶ τίνος χάριν οἱ Ἑνετῆσι συμφυλέται τὰς πλείους αὐτῶν δόντες ψήφους τῶν ἄλλων μὲ προείλοντο, οὐδόλως οἷόν μοι ἀναπτύξαι· κατὰ δέ γε τὸν ἤδη παρεληλυθότα *Ianουάριον* τοσοῦτον αἰφνιδίως καὶ ἐξάπινα, ὅσον οὐκ ἂν ἕτερόν τι γένοιτο ἥτοι μᾶλλον ἐξαπίναιον ἢ αἰφνίδιον, ἐπιστολῶν πλῆθος ἅμα ὁ κοινὸς κομίζει μοι γραμματοφόρος· τούτων αἱ μὲν τῆς καὶ ὑπὸ τῶν γαληνοτάτων προσεπικυρωθείσης ψήφου δηλωτικαί, αἱ δὲ εἰς τὴν αὐτῆς ὑποδοχὴν προτρεπτικαὶ καὶ παρακλητικαὶ καὶ συγχαρητικαί, αἱ δὲ καὶ ἐξορκιστικαὶ ἀπό προσώπου τοῦ Θεοῦ τοῦ ζῶντος καὶ ἀπειλητικαὶ ἅμα τῶν πανδεινῶν ἐκ τῆς ἐμῆς κακῶν παραιτήσεως, τινὲς δὲ καὶ τῆς τελείας τῶν ἐκεῖ ἐπανορθώσεως ἐπαγγελτικαὶ καὶ τῆς ἀκριβεστάτης τοῦ εἴ τι ἂν περὶ τούτου αἰτήσω ἐκπληρώσεως. Ὅπως οὖν αὐτὸς τότε ἐκταραχθεὶς διετέθην, ἐξιπεῖν οὐ πάνυ ῥᾴδιον· ἤσχαλλον, ἠθύμουν, ὠργιζόμην· πῶς γὰρ οὔ;

οὓς ἐγὼ ἔφευγον διώκοντας ὁρῶν καὶ μικροῦ καταλαμβάνοντας, δισταγμοί με περιεκύκλουν καὶ φόβοι οἵ τε τοῦ νῦν καὶ οἱ τοῦ μέλλοντος αἰῶνος καὶ ὁ ἀντιληψόμενος ἢ συμβουλεύσων οὐδείς. Μία μοι ἄρα ἡ παραμυθία, ἡ ἐκ τελείων τελεία παραίτησις· ἀλλὰ γὰρ αἱ τῆς ἐπιστροφῆς ὑποσχέσεις οὐ μικρόν μοι τρία νυχθήμερα παρέσχον ἀγῶνα. Καὶ τίς οἶδεν, ἐν ἐμαυτῷ ἔλεγον, εἰ μὴ ἄρα τὴν τῆς ἐκκλησίας ἐκείνης διόρθωσιν ἡ ἀνωτάτη τοῦ Ὑψίστου ἀποταμιεύσασα δι' ἐμοῦ γενέσθαι ὥρισε πρόνοια· ἀλλὰ δι' ἐμοῦ; ναί, διὰ σοῦ· ἢ οὐχὶ καὶ δι' ὄνου τὴν τοῦ μάντεως κατεζήλεγξε προπέτειαν καὶ δι' αὐτοῦ τοῦ Βαρλαὰμ τὰ μεγάλα τῆς ἐνσάρκου οἰκονομίας προεκήρυξεν ὁ Θεὸς μυστήρια; καὶ τῷ Φαραὼ δὲ ἀποκαλύπτεται τὰ μέλλοντα καὶ ὁ Ναβουχοδονόσορ προφητικὰ ἐνυπνιάζεται ὁράματα καὶ οἱ ἀπ' ἀνατολῶν μάγοι βασιλέα τὸν Σωτῆρα ἐπιγνόντες δῶρα αὐτῷ προσάγουσι, καὶ τὰ ἐξουθενημένα, φησίν, ἐξελέξατο. Τοῦτο τοιγαροῦν ποιητέον, ἔφην· οὐ παρ' οὐ οὐ δεῖ, ἀλλὰ παρ' οὐ χρὴ τὴν τῆς ἀνακαθάρσεως ἐκζητητέον πληροφορίαν· ὁ δέ, ἡ Γαληνοτάτη, ἐστὶν ἀναμφιλέκτως. Τοῦτο δὴ οὖν καὶ πεποίηκα· γράψας γὰρ αὐτοῖς τάδ' ἐδήλωσα· « εἰ μὲν ἡ Ἀριστοκρατία τὴν τῆς Ἐκκλησίας ἐκείνης ἐλευθερίαν διὰ τοῦ σεβαστοῦ αὐτῆς θεσπίσματος ὁρίσαιτο αὐταῖς λέξεσι καὶ τάδε περιέχοντος: L'archivescovo di Filadelfia nostro suddito dipendente dalla sede patriarcale di Costantinopoli avrà sempre la libertà di professare li dogmi della Chiesa orientale ed esercitare tutti i suoi riti (τῇ Ἰταλῶν αὐτοῖς ἔγραψα φωνῇ καθάπερ δὴ καὶ αὐτοί· καὶ τοῦτο γὰρ ἡμῖν ἡ τοῦ Γένους ἐπεσώρευσε πτῶσις, τὸ τὴν πάτριον καὶ παρὰ πάντων θαυμαζομένην καταλιπόντας ταῖς βαρβάροις χρῆσθαι γλώσσαις!), στέρξω τὴν ψῆφον· εἰ δ' οὔ, κἂν ὁμοθυμαδὸν ὁ σύμπας κόσμος καὶ λέγῃ καὶ γράφῃ καὶ θεσπίζῃ, οὐδαμῶς πείσει με, παρῃτημένος δὲ καὶ μακρὰν ἀπ' αὐτῶν ἔσομαι εἰς τὸν αἰῶνα· καὶ τοῦτο δὴ τῶν πρὸς αὐτοὺς ἐμῶν γραμμάτων τὸ πρῶτον, ὅπερ ἐπιστείλαντός μου ἀνταπέστειλαν ἐκεῖνοι, ἐκθειάζοντες μὲν τὰ σημανθέντα καὶ τὰ αὐτὰ εἶναι οἷς καὶ αὐτοὶ βούλονται ἀποφαινόμενοι, ἐπιζητοῦντες δὲ καὶ παρακαλοῦντες, ὅπως ἂν ἀντ' ἐκείνου τοῦ παρ' ἐμοῦ αὐτοῖς σταλέντος γράμματος ἕτερον ἀπὸ τοῦ παρ' αὐτῶν πεμφθέντος μοι πρωτοτύπου μεταγράψας πέμψω, καὶ ταῦτα ἐπὶ προφάσει τῶν προληπτικῶν τε καὶ προκατειλημμένων τῶν τὸ διαληφθὲν ἐμὸν ἀναγνωσομένων ἐπιστόλιον.

» Τὸ δὲ πεμφθέν μοι πρωτότυπον οὕτω σοφιστικὸν ἦν καὶ ἀπατηλὸν καὶ δόλιον, ὡς καὶ τοὺς σοφοὺς ἂν ἐξαπατῆσαι καὶ τοὺς συνετοὺς ἠδύνατο· ἀλλὰ γὰρ ὁ ἀποκρύψας ἀπὸ σοφῶν καὶ συνετῶν καὶ ἀποκαλύψας νηπίοις οὐ παρεῖδέ με διὰ τὸ ἄμετρον αὐτοῦ ἔλεος. Ἔνθεν τοι τὰ ἐν αὐτῷ καταστηλιτεύσας σοφίσματα καὶ τὴν ἀπάτην ἐκπομπεύσας καὶ διελέγξας τὸν δόλον, ὑπ' ὄψιν τὸν ἐν αὐτῷ ἐγκατακεκρυμμένον ἐν παρέθηκα προσθεὶς καὶ τάδε· « Ἐπεὶ οὖν τὸ ζαλέν μοι πρωτότυπον ἐναντία Θεσπίζει τῇ ἁγίᾳ μου μητρί, τῇ Ἀνατολικῇ ἐκκλησίᾳ, εἴη τὸ γράμμα ἐκεῖνο κατηραμένον, ἀφωρισμένον, ἀναθέματι ὑποβεβλημένον ἐν τῷ ὀνόματι τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. Οὕτως ἐγὼ τὸ τοιοῦτον περιποιοῦμαι, σὺν ἐμοὶ δὲ καὶ πᾶσα ψυχὴ ἡ τῆς ἀληθείας ὀρθοτομοῦσα τὸν λόγον.» Καὶ αὕτη τῶν ἐμῶν πρὸς αὐτοὺς ἐπιστολῶν ἡ δευτέρα, ἣν πέμψας τὴν ψῆφον ἀκυρωθεῖσαν ᾠόμην καὶ ἐπιγείου με ἅμα πατρίδος ἀπηλλάχθαι φροντίδος.

» Ὅρα δέ μοι τὸ βάθος τοῦ πλούτου τῆς ἀνεξιχνιάστου τοῦ Θεοῦ τῶν ὅλων οἰκονομίας· τοσοῦτον κατενύγησαν οἱ ἄνθρωποι, ὥστε συγγνώμην ὑπὲρ τοῦ σταλέντος αἰτήσαντες τοῦτο ὁμοφώνως ἀποφήνασθαι, « ἢ ὡς πρότερον ἔγραψας καὶ ἃ ἔγραψας περιέξει τὸ θέσπισμα, ἢ οὐκ ἂν γένοιτο ὅλως.» Ἐξελιπάρουν δέ, ἵνα τὸ πρῶτον πάλιν αὐτοῖς ἐπιστείλω, τοὺς ἐν αὐτῷ μόνον καὶ μόνον ἀφελῶν ἐλέγχους· καὶ γὰρ ἀληθῶς ἐξήλεγχον ἐν ἐκείνῳ λάθρα μὲν καὶ ὑποκεκαλυμμένως τὸν κατεπονείδιστον καὶ μυρίων ἐλέγχων ἐπάξιον, φημὶ δὴ τὸν λεγόμενον θεόν τῆς γῆς ἢ θεὸν ἐν τῇ γῇ, ἀναφανδὸν δὲ καὶ ἀνακεκαλυμμένως τὴν ὀλεθρίαν αὐτῶν πνευματικὴν κατάστασιν. Ἐπὶ τοῦτο δὴ καὶ ἐπένευσα· πρόσκειται γὰρ τῷ «ἔλεγξον, ἐπιτίμησον » εὐθὺς παρὰ πόδας καὶ τὸ « παρακάλεσον », καὶ οἰκονομεῖν δεῖν μεμαθήκαμεν, ἔνθα μὴ παρανομεῖν πρόκειται. Ἔκτοτε οὖν ἄχρι τῆς ἄρτι ὥρας χρηστὰς ἡμῖν διὰ τῶν ἑαυτῶν ἀπαγγέλλουσι γραμμάτων ἐλπίδας ἐπὶ τῇ τοῦ προδιαληφθέντος θεσπίσματος τελειώσει πάντες, ὡς φασι, μιᾷ ψυχῇ καὶ καρδίᾳ ὑπὲρ τούτου πάντα κινοῦντες καὶ πράττοντες.

» Ἐπεὶ δὲ καὶ τούτου, ᾧ δὴ εἴρηται λόγῳ, τέλος εἰληφότος (ὅπερ ἂν μὴ ἴδω καὶ ἀ-

ναγνῶ καὶ ψηλαφήσω, οὐ μὴ πιστεύσω), καὶ τὴν τοῦ Παναγιωτάτου ἐπιμεῖναι δεῖ ἀπόφανσιν, καθάπερ αὐτοῖς δεδήλωκα, καί τινας τῶν ἐκεῖ ῥύπων χρεὼν προαποκαθάραι, καὶ τὸ τοῦ θέρους ἥκειν ἤδη πέρας, αἱ δὲ ἐν χειμῶνι ὁδοιπορίαι δειναί, διά τοι τοῦτο ἄχρι τῆς τοῦ ἁγίου Πάσχα ἑορτῆς περιμενῶ, τὸν Β' τῆς Σειρᾶς ἐκδιδοὺς τόμον· καὶ γὰρ ὁ Α' τετελείωται ἤδη, ἀποσταλήσεται δὲ ὑμῖν τοῦ κομίσοντος εὐπορήσαντός μου.

» Οὕτω μὲν οὖν, ὦ ἱερὰ καὶ αἰδεσιμωτάτη μοι κορυφή, τὰ ἐπισυμβάντα μοι ἄχρι τοῦ νῦν ὡκονόμηται· ἀλλὰ γάρ, ἐρεῖ τις, τελεσά; οὔμενοῦν, ὡς ἔμοι γε ἔοικεν· ἀλλὰ πολιτικά; οὐδαμῶς· ἀλλὰ θαυμαστά; οὐκ ἂν εἴποιμι· ὃ γὰρ σὺ θαυμάζεις, φησί, τοῦθ' ἑτέροισι γέλως· ἀλλ' ἐπωφελῆ; τοῦτο δὴ ὁ Θεὸς οἶδε μόνος· εὐσεβέστατα δὲ ἀναντιῤῥήτως, ὡς καὐτός, εὖ οἶδα, τοῖς σοῖς ἐφετοῖς μοι ἐρεῖς γράμμασιν, ὧν ἂν ἀξιώσαις με ».

Τῷ αὐτῷ.

« Μὴ δὴ θαυμάσῃς, σεβασμιώτατέ μοι διδάσκαλε, εἰ μόνον μετὰ τὴν τοῦ ἔτους συμπλήρωσιν πάλιν τοῦ καλάμου ἐφάπτομαι καὶ περ τῶν σῶν πέρυσιν ἤδη ἀξιωθεὶς ὑπερτίμων γραμμάτων· συνιείς μὲν γὰρ ἀπ' ἀρχῆς, ὡς ἐπὶ τὸ μέγα τῆς εὐσεβείας ἀφορῶσι μυστήριον αἱ περικατασχοῦσαί με περιστάσεις, τούτων οἱονεί τινα συνοπτικὴν ἐπιτομὴν δεῖν σε ἔχειν ἐπέγνων καὶ τοῖς ἄλλοις διὰ σοῦ καὶ αὐτοῖς τοῖς μετέπειτα ὡς λίαν ὀνήσιμον μεταδοθησομένην. Ἐπεὶ δὲ πραγμάτων πατὴρ ὁ χρόνος, τοῦτον καὶ τὰ λοιπά, ὧν ἤδη προέγραψά σοι, ἐναποτεκεῖν περιμένων ἄχρι τοῦδε παρασεσιωπηκώς σοι ὤφθην.

» Ἄχρι μὲν οὖν τοῦ παρεληλυθότος δεκεμβρίου ἀνεμώλια ἅπαντα τὰ αὐτοῦ καρποφορήματα· πλὴν γὰρ ἐλπίδων κενῶν ἕτερον προήχθη οὐδέν· ὅτε γε δὴ πυθόμενος τὸν καλούμενον Ποντίφηκα τοὺς κρατοῦντας ἐγγράφως παραινέσαι νήφειν, καθάπερ καὶ οἱ πάλαι αὐτῶν πρόγονοι, καὶ ἐγρηγορός τε καὶ ἄγρυπνον ἀναπεστάσαι ἐπὶ τὴν ἐκεῖ τῶν Γραικῶν ἐκκλησίαν τὸ ὄμμα, ὅπως ἂν αὐτή τε καὶ ὁ ἐπίσκοπος αὐτῆς τοῦ πρότερον ἀκράδαντα ἀντέχοιτο θρησκεύματος, ὅ ἐστι τῆς χυδαϊστὶ λεγομένης Unia[1], ἅπερ χρὴ τοὺς ἡμετέρους ποιῆσαι καὶ ὅπως τὸν αὐτῶν χωρισμὸν καὶ τὴν ἐμὴν ἀπ' αὐτοῦ τελείαν ἀποστροφὴν ἐναποδεῖξαί τε καὶ παραστῆσαι δι' ἐπιστολῆς ἐδήλωσα πολυστίχου· οἱ δὲ εἴτε μικροψυχίᾳ εἴξαντες, εἴτε τῇ περὶ τὰ θεῖα καταψυγέντες ψυχρότητι, εἴθ' ὑπ' ἄλλης τινός, ἣν αὐτὸς οὐκ οἶδα, αἰτίας κατοκλάσαντες καὶ κατανεκρωθέντες καὶ τὰ ὦτα βύσαντες, ἅπερ αὐτοῖς εἰσηγησάμην, βαθείᾳ τῇ σιγῇ παρελθόντες τῇ λήθῃ παραδεδώκασι.

» Κατὰ δὲ τὸν παρελθόντα μάρτιον ἐπιστείλαντες μετεπέμποντό μοι πάλιν μεματαιῶσθαι μὲν λέγοντες, οὓς κατέβαλον ἐναυσίους πόνους, ἀφικέσθαι δέ με πρὸς αὐτοὺς ἀξιοῦντες ἐκτελέσοντα, ὅπερ αὐτοὶ εἰς πέρας ἀγαγεῖν οὐκ ἴσχυσαν. Ἐγὼ δὲ τοὺς τῆς ἐμῆς ἀπ' αὐτῶν ἀποστάσεως. ἕως οὗ τὸ ἀριστοκρατικὸν διαπεραναθείη θέσπισμα, ἀντ' ἐμαυτοῦ διεπερψάμην ἀπογρῶντας λόγους. Καὶ αὐτοὶ μὲν τῷ λόγῳ, ὡς ἔοικεν, ἅτε δὴ φύσει λογικοὶ ἀναπεισθέντες τοῦτο οὐκέτι προέτειναν· αὐτὸς δὲ ὁρῶν ἐκείνους πολιτιζομένους, ἐμαυτὸν δὲ τηνάλλως τὸν χρόνον κατατρίβοντα, μηδενός ἑτέρου τοῦ προκειμένου γε ἕνεκα ἐφάψασθαι δυνάμενον ἔργου, γράψας ἀνήγγειλα μηκέτι ἐξεῖναί μοι ἐπ' ἀορίστῳ χρόνῳ καὶ ἀδήλῳ τῇ ἐλπίδι καραδοκεῖν, ἃ καὶ δι' αὐτῆς τῆς αὐτῶν ἐτησίου πείρας ἀνέφικτα ἀνεφάνη· ἱκανῶς γὰρ τῆς νῦν ἐκ τῆς πολυχρονίου προθεσμίας ἐπιγεγενημένης μοι ἐπαίσθησθαι ζημίας· ἀλλ' ἵνα μηδεμίαν ἐφεξῆς προφασιολογίαν ἔχωσι, τοῦτό γε δὴ τὸ ὅσον ἐπ' ἐμοὶ ἔσχατόν τε καὶ τελευταῖον ὥρισα, ἀμέλει τοι τὸ περιμεῖναι ἔτι ἕως τῆς τελευταίας τοῦ ἐλευσομένου αὐγούστου μηνὸς ἡμέρας· οἱ δὲ τούτων ἀκούσαντες τὰ ἐξῆς ἐδήλωσαν: « Ὑπὲρ ἄλλοτέ ποτε νῦν, κἂν δεινόν τοὐγχείρημα καὶ ἄχρι τῆς τελευταίας ἄθλιον ὥρας, αἱ μὲν χρῆσται ἐλπίδες προέκυψαν [μᾶλλον *προσέκαψαν*], ἡμεῖς δὲ πείρᾳ τῇ ἐσχάτῃ χρησόμεθα, ὅπως ἂν ἧτοι κατά γε τὸν ἰούλιον ἢ καὶ αὐτὸν τὸν αὔγουστον πέρας σχῇ τὸ ποθούμενον· διὸ κατελθεῖν σε δεῖ, προσέθεντο, ἐν Τεργεσίῳ, ἵν' ἐκεῖθεν καὶ ἡ τῶν γραμμάτων ἀποστολὴ πυκνοτέρα καὶ ἡ εἰς τὰ δεῦρο ὁδοιπορία τε καὶ ἀφιξίς σου εὐμαρεστέρα τε γένοιτο καὶ ταχυτέρα.» Τούτοις δὲ τοῖς γράμμασι καὶ τὰ πρὸς τὴν ὁδὸν συνεξαπέστειλάν μοι ἐφόδια. Πρὸς ταῦτα δ' ἐγὼ· οὐ μόνον ἐν τῷ γίγνεσθαι ἄχρι τῆς ἐσχάτης ὥρας, ἀλλὰ δὴ καὶ ἐν τῷ γεγενῆσθαι ἤδη ἡ τοῦ ἔργου τελειότης ἄδηλος· καὶ γὰρ εἰ ὁμωνυμίαν ἢ ὑποπτολογίαν μόνην τὸ γεγενημένον περιέχοι, ἄχρηστον καὶ ἀτελεσφόρητον καὶ ὥσπερ ἂν εἰ μὴ γεγενημένον ὅλως ἦν, οὕτω λογισθήσεται. Ἔνθεν τοι ἐπεὶ τῶν εὖ φρονούντων τὸ μὴ ὡς ὁμολογούμενα ἐκλαμβάνειν τὰ ἀβέβαια, ἐγὼ μὲν ἐν ᾧ εἰμι τόπῳ ἀσάλευτος παραμενῶ, ἕως ὅτου τὸ παρ' ἑκατέρων, ἐμοῦ τε δηλαδὴ καὶ ὑμῶν, ὁρισθὲν τοῦ καιροῦ ἔλθῃ πέρας· τὰ δὲ πεμφθέντα μοι ἐφόδια, εἰ μὲν τὴν πρὸς ὑμᾶς ἄγουσαν εἰσίναι με δείκνυσι, τότε δὴ καὶ μόνον μοι χρήσιμα· εἰ δ' ὁ προσδιορισθεὶς μάτην προσδαπανηθῇ χρόνος μηδὲν καρποφορήσας, παλινδρομήσει ἄτεγκτα ὑμῖν ἀποδοθέντα καὶ ἀνέπαφα.

» Ἐκ τούτων κατιδεῖν πάνυ ῥᾴδιον, ὡς ἀβέβαια τὰ πάντα, ἀστήρικτα καὶ ἄδηλα, τυχὸν δὲ οὐδὲ ἄδολα. Ἓν καὶ μόνον καλὸν ἐν τούτοις σύνοιδα καὶ ἀναμφήριστον, τὸν ἐξ ἑκατέρων τῶν μερῶν αὐτῶν τε κάμοῦ συμφώνως προσδιορισθέντα καιρὸν ἐπὶ τῇ ὁποιοσοῦν εἴτε εὐτυχεῖ εἴτε δυστυχεῖ τοῦ ἔργου ἐκβάσει. Καὶ ταῦτα μὲν τὰ ἄχρι τοῦδε περὶ τούτων.

» Ὅσον δ' ἠγαλλιασάμην ἐγὼ οὐ μόνον συναινέτην ἀλλὰ καὶ ἐπαινέτην σε ὧν πέπραχα διὰ τῶν σεβασμίων γραμμάτων σου μαθών, τοσοῦτον δὴ καὶ ἔτι πολλῷ μᾶλλον τῇ ἡμιξήρῳ δεξιᾷ ἐν αὐτοῖς ἀναγνοὺς λελύπημαι· μόνος δὲ τὴν τῆς ἀθυμίας ῥύμην ἀναχαιτίσαι κατίσχυσεν ὁ θεηγόρος Ἀπόστολος, τὴν τοῦ ἔξω ἀνθρώπου φθορὰν τοῦ ἔσω ἀνακαινισμὸν εἶναι ἀποφαινόμενος, εἴτε ὡς ὑπ' ὄψιν τὸ τῆς φύσεως ἡμῶν ῥοῶδες τιθεῖσαν καὶ διὰ τοῦτο ἐπὶ μόνα τὰ μέλλοντα ἐπιβλέπειν ἰσχυρῶς παροτρύνουσαν, εἴτε ὡς ἀργὰ ἔνια τῶν μελῶν καθιστῶσαν, κἂν τοῦτον (;) τὸν νοῦν τῆς ἔξω καὶ κάτω ἀσχολίας παρακόπτουσαν καὶ ἔσω μικροῦ γε δεῖν ὅλον συστέλλουσαν, ἵν' ἐπὶ τὰς ὑψηλοτέρας ἀνάγοιτο καὶ θεοφαντικωτέρας θεωρίας. Κἂν γοῦν αὐτὸς ἀόκνως τε καὶ ἀδιακόπως διὰ παντὸς τοῦ βίου ἡμέρᾳ τῇ ἡμέρᾳ σαυτὸν θεοφιλῶς ταῖς οὐρανίαις ἀνεκαίνιζες ἀναβάσεσιν, ἀλλὰ γὰρ νῦν διὰ τούτου ἐπὶ τὸ ἔτι τελειότερον Θεὸς προσβιβάζει σε, ὅπως ἂν Θεὸς κατὰ τὸ δυνατὸν ἀνθρώπῳ γενόμενος Θεῷ τῷ κατὰ φύσιν συνῇς αἰωνίως.

» Τίς δέ, πρὸς Θεοῦ, ὃν αὐτὸς μὲν φιλόκαλον καλεῖς, ἐγὼ δὲ φιλόκακον εἰκότως, ὁ τοσαῦτά τε καὶ τοιαῦτα τῇ πραοτάτῃ σου παρασχὼν ψυχῇ πράγματα; καὶ τίνος γε ἂρα χάριν; μή τοί γε διὰ τὴν ἐμὴν προσταλαιτσάν σοι ἐπιστολήν; ἐγὼ μὲν οὐδὲν καθαρὸν συνορῶ, κἂν πολλὰ ἀμβλυωπῶς συνεικάζω.

» Καὶ τὸν Β' τῆς ἐκδοθείσης Σειρᾶς πρὸ ἡμερῶν ἐπέσταλκά σοι τόμον, καίπερ ἄχρι τῆς ἄρτι ὥρας ἀγνοῶν, εἴ γε δὴ τὸν πρὸ πολλοῦ προσταλέντα Α' ἔλαβες. Ἐπὰν οὖν, ὅπερ καὶ εὔχομαι καὶ ἀξιῶ, τῶν σῶν ἀξιώσῃς με ποθεινοτάτων μοι γραμμάτων, καὶ περὶ τούτων ἀνάγγειλον· ἀλλὰ πῶς ἄν, ἐρεῖς, ἡ δεξιὰ κινηθείη ὅλη, ἡμίξηρος οὖσα; τὰ λόγια ἔστω τῆς ὁσίας καὶ φιλοσόφου σου διανοίας γεννήματα, τὰ δὲ γράμματα τῆς ὁποιασοῦν χειρός· καὶ τοῦτο ἀρκεῖ μοι, κόπους σοι μηδαμῶς παρέχειν αἱρουμένῳ ».

Τῷ αὐτῷ.

« Ἰδού, διδασκάλων μοι ἄριστε καὶ πρώτιστε, καὶ ἡ ἐπιστολὴ ἡ τὰ ἔσχατα καὶ τελευταῖα, τὰ περὶ ψευδαδελφείας, μᾶλλον δὲ μισαδελφείας, περιέχουσα. Ἐνέμενον αὐτὸς ἐν Λειψίᾳ, καθὰ δὴ διὰ τῶν πέρυσι σταλέντων σοι ἐδήλωσα γραμμάτων μου, τὴν κατὰ τὸν αὔγουστον μῆνα ἐσομένην τῶν πραγμάτων ἔκβασιν· παρῆλθε δὲ καὶ ὁ αὔγουστος καὶ ὁ ἐξῆς σεπτέμβριος καὶ τοῦ ὀκτωβρίου τὸ ἥμισυ καὶ μόλις τότε οἱ περιμένειν με πείσαντες ἐπέστειλαν λέγοντες, ὅτι ἀριστοκρατικὸν ἐξῆλθε θέσπισμα, οὓς ἐκεῖ ἐκκλησιαστικοὺς καλεῖν εἰώθασι συμβούλους κελεῦον περὶ τοῦ ζητουμένου βουλεύσασθαι. Ἔνθεν τοι χρησίμους τῷ ποθουμένῳ καὶ σωτηρίους τὰς αὐτῶν οὐκ οἶδ' ὅθεν τεκμαιρόμενοι συμβουλὰς ἔτι περιμεῖναί με ἠξίωσαν· ἀλλὰ τούτων ἀκούσας ἐγὼ πᾶσαν αὐτίκα ἀπεθέμην ἐλπίδα· οὐδὲ γὰρ ἐκ βάτου ἔλαιον, οὐδ' ἐξ ἀκανθῶν συλλέξαι ἐλπιστέον σῦκα. Καταβὰς οὖν εἰς Βιέννην, ἐντεῦθεν τὸ τῶν ἑκατὸν χρυσῶν συναλλακτικὸν γράμμα τὸ ὑπ' αὐτῶν πεμφθέν μοι ἀνέπαφον αὐτοῖς ἀνταπέδωκα, οὐδὲ τῷ αὐτῶν εἴτε δώρῳ εἴτε ἀνταποδόματι τὴν ἐμὴν λιπάναι κεφαλὴν θελήσας, ἔγραψά τε αὐτοῖς, ὅτι ὁ χειμὼν ἤδη κατέλαβέ με, διὸ ἐξ ἀνάγκης δεῖ ἐν ᾧ εἰμι παραχειμάσαι τόπῳ. Οἱ δὲ πρὸς ταῦτα, τοῦτο κατὰ θυμὸν αὐτοῖς εἶναι ἐλπίζουσι κατὰ τὸν δεκέμβριον πέρας σχεῖν τὸ ἐν χερσὶν ἔργον. Παρελθούσης δὲ καὶ ταύτης τῆς προθεσμίας ἑτέρα πάλιν προὐτέθη, ἡ ἄχρι τοῦ Πάσχα, καὶτῆς ὁμοίως ταῖς πρότερον ματαιωθείσης· πρὸ δύω τῆς ἐντεῦθέν μοι ἀποδημίας ἡμερῶν πάλιν στέλλουσι γράμματα, δι' ὧν παρακαλοῦντες ἠτοῦντο ἔτι δίμηνον ἀναβολήν, ἐσχάτην ἐσομένην, ἅτε δὴ τὴν

1. Οὐνίας.

τελευταίαν ὁρίσαντες λαβεῖν πεῖραν. Οὐ τῆς τυχούσης δ' ἐγὼ ἐπειράθην δυσχερείας, τῆς ὁδοῦ ἐμαυτὸν ἀναχαιτίσας, ἧς ἤδη ἐφηψάμην. Καὶ ἑώρων μέν, μᾶλλον δὲ πεπεισμένος ἦμην, ὅτι καὶ ταυτησὶ τῆς ἀναβολῆς φροῦδος, καθὰ καὶ τῶν προτέρων, καὶ ἀνεμώλιος ὁ γόνος, ἀλλ' ἵνα μὴ τὴν ἐμὴν ἀποδημίαν ὡς παρακοπὴν τοῦ ἔργου προτείνοντες παραλόγως προφασίζωνται, ἀναπολόγητοι δ' ὦσιν, ἐνέμεινά τε καὶ ἄκων ἐνεκαρτέρησα. Πρὸ ὀλίγων οὖν ἡμερῶν δι' ἐπιστολῶν αὐτῶν ἀνυποστόλως ὡμολόγησαν, ὡς ἔγνωσάν τε καὶ ἀνεπείσθησαν ἀδύνατον εἶναι τὴν τοῦ ζητουμένου ἐπίτευξιν (ὅπερ ἐστὶ τοῦ παπικοῦ ζυγοῦ τὴν αὐτῶν ἀπαλλαγῆναι ἐκκλησίαν)· εἶτα παρακατιόντες, ὡσανεὶ τῶν εἰρημένων ἐπιλαθόμενοι, ταῦτα προσέθηκαν, καθάπερ καὶ ἄλλοτε· ἐὰν δ' αὐτὸς ὧδε παραγενέσθαι θελήσῃς, ἐνδέχεται τὰς δυσχερείας διὰ τῆς σῆς ἐξομαλισθῆναι παρουσίας. Καὶ ταῦτα μὲν δὴ ἐκεῖνοι.

» Ἐγὼ δὲ πρὸς Κύριον ἄρας τὴν ψυχήν μου, τὸν φωτισμὸν καὶ σωτῆρά μου καὶ ὑπερασπιστὴν τῆς ζωῆς μου, τὸ πάντιμον ἐδόξασα καὶ μεγαλοπρεπὲς αὐτοῦ ὄνομα, ὅτι ἐρρύσατο ἀπὸ ῥομφαίας τὴν ψυχήν μου καὶ ἐκ χειρὸς κυνὸς τὴν μονογενῆ μου· ἐζήτησε γὰρ συνιάσαι με ὁ λυσσῶν θὴρ καὶ ὀλέθριος· ἀλλ' ἔσωσέ με ὁ ὑπὲρ ἡμῶν ἐντυγχάνων, ὁ πρὸς τὸν Πατέρα Παράκλητος, ὁ ἐκ δεξιῶν τῆς μεγαλωσύνης καθήμενος, ἐκ στόματος λέοντος, καὶ ἀπὸ κεράτων μονοκερώτων τὴν ταπείνωσίν μου.

» Ἐκύκλωσάν με κύνες πολλοί, ἀποσυναγωγὴ πονηρευομένων· οὕτω γὰρ ὁ Οὐρανοφάντωρ καλεῖ τὰς ἀφορισθείσας ἐκκλησίας, ὧν μία ἐκείνη ἡ περὶ ἧς ὁ λόγος, ἐν καθέδρᾳ λοιμῶν καθῆσαι δισχυρισαμένη. Πόρρω με αὐτῶν ἀριστάμενον καὶ μηδὲν τὸ σύνολον εἰδότα ἐξελέξαντο καὶ τῆς ἀγέλης αὐτῶν ἀγελάρχην με ἐψήφισαν· ἐπανορθωθῆναι δ' αὐτοὺς ἐλπίσας ἐξ ἧς κατάκεινται ἐλεεινῆς πτώσεως, μὴ θέλοντα εἰδὼς τὸν δεσπότην ἡμῶν τοῦ ἁμαρτωλοῦ τὸν θάνατον ὡς τὸ ἐπιστρέψαι καὶ ζῆν αὐτόν, οὐ παραχρῆμα τὴν ψῆφον αὐτῶν ἠκύρωσα, οὐδ' ἀπ' αὐτῶν εὐθὺς ἀπέστρεψα τὸ πρόσωπόν μου, ἀλλὰ τὰ πρὸς θεραπείαν τῶν πληγῶν αὐτῶν ἐπιτήδεια πάσσας φάρμακα χρῆσθαι τούτοις εἰσηγησάμην· οἱ δὲ ἀντὶ ἀγαθῶν πονηρὰ καὶ ἀντὶ τῆς ἀγαπήσεώς μου δολιότητα τεκτήναντες ἀνταπεδίδοσαν· τοιοῦτον γάρ με τυχὸν νομίσαντες, οἷοι ἦσαν οἱ πρώην, ἀπὸ τοῦ 1713 δῆθεν ἔτους καὶ ἄχρι τοῦ νῦν χριστέμποροι καὶ θεοκάπηλοι, τῶν ψυχῶν αὐτῶν ὀνόματι μὲν ὁδηγοί, πράγματι δὲ καταστροφεῖς, οἱ τῆς Δυτικῆς ἐκκλησίας τὰ δόγματα στέρξαντες καὶ τῆς Ἀνατολικῆς τέκνα γνήσια εἶναι ὀμνύοντες καὶ ἑκατέραν τῶν ἐκκλησιῶν ἐμπαίζοντες οἱ ὑποκριταὶ καὶ ἀσύνετοι, βουλὴν ἄθεσμον κατ' ἐμοῦ ἐβουλεύσαντο καὶ παράνομον· τὴν νόσον τὴν ἑαυτῶν μεταδοῦναί μοι ἐπειράθησαν, δι' ὧν ἀπέστειλάν μοι οἰκειοποιήσασθαί τε καὶ καθυπογράψαι δολίων καὶ ἀπατηλῶν γραμμάτων· δι' αὐτῶν γὰρ ἤλπιζον, ὡς ἔφασκον, θεραπείας τυχεῖν, μήθ' ἃ ἔλεγον μήθ' ἅπερ ἔπραττον συνιέντες οἱ δείλαιοι· ἀλλὰ τῶν μὲν γραμμάτων ἐκείνων κατεξελέγξας τὸν δόλον, αἰωνίῳ αὐτὰ καθυπέβαλον ἀναθέματι, ἐκείνοις δὲ πάλιν τὰ πρὸς σωτηρίαν αὐτῶν ὑπεθέμην πρόσφορα. Ὕπεί δὲ ἐφ' οἷς ἔπραξαν μετανοεῖν ἐδόκουν καὶ λύσιν τοῦ κακοῦ ἐπηγγέλλοντο, ἐνέμεινα ἐν ξένῃ καὶ ἑτερογενῶν ἀνθρώπων γῇ, ἰδίῳ οὐ σμικρῷ οὐδ' ὀλίγῳ μισθώματι, διὰ γραμμάτων κοινῶς τε πάντα καὶ κατ' ἰδίαν ἐνίους ἀδιαλείπτως νουθετῶν, διδάσκων, παρακαλῶν, συμβουλεύων, ἐλέγχων, ἀπειλῶν καὶ πᾶν ὅτι τὸ πνεῦμα τῆς ἀληθείας ὑπηγόρευέ μοι καταργαζόμενος· ἀλλὰ πάντα ἀνωφελῆ ὤφθη καὶ ματαια, καὶ λύρα πρὸς ὄνον, τὸ τῆς παροιμίας. Ἐγὼ μὲν οὖν θαρρῶ τε καὶ πέποιθα, ὡς ὅσον μὲν τὸ ἐπ' ἐμοὶ παρέλιπον οὐδὲν τῶν πρὸς τὴν αὐτῶν συντεινόντων σωτηρίαν.

» Εἰ δέ τις ἐρεῖ, ὅτι καὶ παραγενέσθαι με ἐκεῖ ἔδει καὶ τὴν ἐπισκοπὴν ἐκείνην ἀναδέξασθαι (οὕτω μὲν γὰρ τυχὸν συνέβαινεν ἡ διόρθωσις), σκοπείτω οὗτος πρῶτον μὲν τὴν συνθήκην τὴν περιεχομένην ὑπὸ τοῦ ἀριστοκρατικοῦ θεσπίσματος τοῦ πρὸ τῆς ἐκλογῆς γενομένου τοῦ Φατζέου· καὶ γὰρ ἐκεῖνο κελεύει *τὸν τῆς ἐκκλησίας ἐκείνης ἐπίσκοπον ὁμολογουμένως καθολικὸν καὶ ἀποστολικὸν εἶναι, τό τε λεγόμενον τῶν ἀποστόλων σύμβολον παραδέχεσθαι καὶ τὸ ἐν Φλωρεντίᾳ στέργειν συνέδριον*. Ὁ οὖν ἐπὶ ταύταις τὴν ἐπισκοπὴν ἐκείνην δεξάμενος ταῖς συνθήκαις δῆλόν ὅτι τῆς μητρὸς αὐτοῦ τῆς Ἀνατολικῆς ἐκκλησίας ἀπέστη καὶ τῆς Ῥωμαϊκῆς γέγονε μέλος· τὸ γὰρ καθολικὸν καὶ ἀποστολικὸν οὐχ ὅπερ αἱ λέξεις σημαίνουσι, τοῦτο παρ' αὐτοῖς δηλοῖ, ἀλλ' ἕτερον κατ' ἀρέσκειαν λαμβανόμενον, ὅπερ ἐστὶ τὸ συνηνωμένον τῇ Ῥωμαϊκῇ ἐκκλησίᾳ. Ἔνθεν τοι καὶ οἱ αὐτῆς παῖδες ἑαυτοὺς Κατολίκους ὀνομάζουσι· σύμβολον δὲ τῶν Ἀποστόλων οὐδεὶς τῶν πάλαι θείων πατέρων ἢ ἱστορικῶν ἀναφέρει, οὐδέ τις τῶν ἁγίων μνημονεύει συνόδων. Εἰ οὖν ἀποστολικὸν ἦν, τί ὅτι οὐδὲ ἡ ἐν Νικαίᾳ πρώτη οἰκουμενικὴ ἁγία σύνοδος οὐδ' ἄλλη τις τῶν δεκτῶν οὐδεμίαν αὐτοῦ ἐποιήσατο μνείαν; « Ἀλλ' οὐδὲν ἄτοπον, ἐρεῖ τις, ἢ ταῖς θείαις ἀπᾴδον περιέχει Γραφαῖς, ὥστε δεκτέον, κἂν μὴ ἀποστολικόν». Δεκτέον μὲν ὡς ῥήματα μηδὲν ἄτοπον περιέχοντα, οὐ μὴν ὡς σύμβολον ἀποστολικόν, οὐδὲ γοῦν ἁπλῶς ὡς σύμβολον· πλὴν γὰρ τοῦ ἐν Νικαίᾳ συμβόλου ἡ καθολικὴ καὶ ἀποστολικὴ τοῦ Χριστοῦ ἐκκλησία σύμβολον ἄλλο οὐδὲν παρεδέξατο. Ὁ ἄρα ὡς ἀποστολικὸν τοῦτο δεχόμενος σύμβολον καινοτομεῖ καὶ ἀπαράδεκτα παραδέχεται καὶ ἑαυτὸν τοῦ ὅλου τῆς Ἐκκλησίας ἀφορίζει σώματος καὶ ἰδίαν συνιστᾷ φατρίαν σύμβολον παραδεχομένην ἀσύμβολον. Τί δ' ἂν εἴποι τις περὶ τοῦ δεῖν καὶ τὸ ἐν Φλωρεντίᾳ στέργειν συνέδριον, ἢ ὅτι ἐπίδηλον, ὡς ὁ τούτῳ συγκατατιθέμενος ἐκπέπτωκέ τε καὶ ἀπέστη τῆς ἁγίας τοῦ Χριστοῦ Ἀνατολικῆς ἐκκλησίας; οὐδέποτε γὰρ αὕτη τὴν δι' ἐκείνου δόξασαν γενέσθαι ἕνωσιν ἔστερξε, μᾶλλον δὲ ἠκύρωσέ τε αὐτίκα καὶ ἀναθέμασι καθυπέβαλε· μακρὸν δ' ἂν εἴη καὶ ἀποστολικοῦ πόρρω χαρακτῆρος τοὺς ἀποχρῶντας λόγους, δι' οὓς τοῦτο πεποίηκε, καὶ τὰς συνοδικὰς παρατιθέναι πράξεις, δι' ὧν ταῦτα κατεῖργασται.

» Εἶτα καὶ τοῦτο χρὴ σκοπεῖν τὸν λέγοντα ἐκεῖ δεῖν με παραγενέσθαι καὶ τὴν ἐπισκοπὴν ἐκείνην ἀναδέξασθαι, ὡς δὴ ἤδη συνοδικῶς, ἐπὶ Τυπάλδου δηλαδὴ καὶ Φατζέου, ἡ Ἐκκλησία τὴν ἐπισκοπὴν ἐκείνην ἀφορίσασα οὐδεμίαν ἄχρι τοῦ νῦν παρέσχετο συγχώρησιν. Πῶς οὖν ἐπιβάς τις τῇ ἐπισκοπῇ ἐκείνῃ, πρὶν ἡ αὐτὴν τοῦ ἀφορισμοῦ λυθῆναι καὶ τῇ καθολικῇ συνενωθῆναι Ἐκκλησίᾳ καὶ μέλος τοῦ ὅλου ἀναγνωρισθῆναι, οὐκ ἂν ὑπεύθυνος γένοιτο καὶ ὑπόδικος καὶ τοιοῦτος, οἷα καὶ ἡ ἐπισκοπὴ ὑπὸ τῆς ἐκκλησίας λογίζεται; «μὴ κοινωνῆτε γάρ, φησί, τοῖς ἔργοις τοῖς ἀκάρποις τοῦ σκότους, μᾶλλον δὲ καὶ ἐλέγχετε». Ἢ πῶς ἂν τις τῆς ὑπὸ τῆς Ἐκκλησίας τυχεῖν ἐλπίσειε συγγνώμης ἄχρι τῆς ἄρτι ὥρας τῶν διαληφθεισῶν σωζομένων συνθηκῶν; τοῦτο δ' αὐτὸς ἐζήτησα, τὸ τὰς συνθήκας ἐκείνας μεταβληθῆναι καὶ τῇ Ἐκκλησίᾳ προσπεσεῖν, αἰτῆσαί τε τὴν ἄφεσιν καὶ συνενωθῆναι τῷ ὅλῳ, εἶτα ἐκεῖ ἐλθεῖν με καὶ εὐσεβῶς καὶ νομίμως τοὺς ἐπισκοπικοὺς παραλαβεῖν οἴακας. Τούτων δὲ γέγονεν οὐδέν.

» « Ἀλλὰ διὰ τοῦτο, φησίν, ἐκεῖ ἐκάλουν σε». Διὰ τὸ ποῖον; «Διὰ τὴν διόρθωσιν». Ἀλλ' ἀνωτέρω δέδεικται, ὅτι ἐκεῖ παραγενόμενος συνυπεύθυνον καὶ συνυπόδικον ἐμαυτὸν ἐποίουν. « Ἀλλὰ διώρθους τὰς συνθήκας». Παπαί! καὶ τίς, πρὸς Θεοῦ, ἐπὶ τῇ ψιλῇ ἐλπίδι τοῦ θεραπεῦσαι τοὺς ἄλλους ἕλοιτ' ἂν τῆς αὐτῶν πρότερον μετασχεῖν νόσου καὶ ἐπίσης αὐτοῖς νοσῆσαι; εἶτα πῶς νοσῶν αὐτὸς ἄλλους θεραπεύσειε καὶ οὐκ ἂν πρεπόντως ἀκούσειε τὸ « ἰατρὸς βρύων ἕλκεσι» καὶ τὸ «ἰατρέ, θεράπευσον σεαυτόν;» Τίς δέ ποτε τῆς ψυχῆς ἢ τοῦ σώματος ἰατρὸς εὖ φρονῶν τοῦτ' ἐποίησεν; Εἶτα τίς εἰμι ἐγώ, ἢ ποίαν ἔχω πρὸς τὸ ἀριστοκρατικὸν ἐκεῖνο κράτος τὴν παρρησίαν ὥστε τοιαῦτα θαρρῆσαι; Ὅλον τὸ ἐκεῖ ἡμέτερον, ὡς μυριάκις ἔγραψαν, γένος παρεκάλεσαν, καθικέτευσαν, ἐδεήθησαν, πάντα ὅσα ἦν ἐπ' αὐτοῖς ἐποίησαν καὶ οὐδὲν ἐκτελέσαι ἴσχυσαν. Τίς οὖν πεισθείη ἂν πώποτε ἕνα καὶ μόνον ἐμὲ τὸν μύρμηκα εἰς πέρας ἀγαγεῖν, ὅπερ τοσοῦτοι οὐκ ἠδυνήθησαν; εἰ δὲ τοὐναντίον συνέβαινεν, ὅπερ ἐστί, παραγενέσθαι μὲν ἐμέ, μὴ μετατραπῆναι δὲ τὰς συνθήκας ἀλλὰ μένειν κελευσθῆναι ἐκεῖ ἐπὶ ταῖς αὐταῖς συνθήκαις, ὁποία ἂν εἴη τότε ἡ ὀνειροπολουμένη διόρθωσις; οὐ γάρ ποτε οἱ ἀριστοκρατοῦντες εἶπον, ἀελθέτω ἐκεῖνος καὶ μεταρρυθμισθήσονται αἱ συνθῆκαι» · ἀλλ' οἱ ἐκεῖ ὁμογενεῖς ἡμῖν τοῦτ' ἔλεγον, οὐ βεβαίως ἐπαγγελλόμενοι τῆς ἐπανορθώσεως ἐλπίδας, ἀλλὰ τυχόν, καὶ ἐνδέχεται, καὶ ὡς ἔστιν εἰκάσαι, καὶ τὰ τούτοις προστιθέντες παραπλήσια, ἐξ ὧν κατιδεῖν ῥᾴδιον, ὡς ἀνεπίσκεπτον τὸ αὐτῶν ζήτημα καὶ ἐπικίνδυνον, ἵνα μὴ δολερὸν εἴπω, καὶ κακότροπον. Ταῦτα μὲν οὖν πρὸς τοὺς τὰ εἰρημένα προτείνειν τολμῶντας· ἐμοὶ δ' ἔτι ἓν λείπεται, τὸ διὰ τελείας παραιτήσεως τὴν ἐκλογὴν ἀκυρῶσαι ἐκείνην. Ἐπεὶ δὲ τύπῳ ταύτην ἀναγκαῖον δοκεῖ μοι ἐκδοῦναι, διὰ τοῦτο μικρόν τι τὸν καιρὸν ἀναβάλλω. Ἔρρωσο, σεβασμιώτατέ μοι, ὑπερευχόμενός μου ».

—

Ἡ τῆς ἐπισκοπῆς, ἧς ἐψηφίσθην ἐπίσκοπος, παραίτησις.

Ἐντιμότατοι καὶ χρησιμώτατοι, κύριέ Σπυρίδων Τζιγκιρλάρα, ἐπίτροπε τῆς τοῦ ἁγίου Γεωργίου ἐκκλησίας, καὶ οἱ σὺν σοὶ ἐπιτροπεύοντες καὶ οἱ λοιποὶ ἅπαντες Γραικοὶ οἱ ἐν τῇ περικλεεστάτῃ τῶν Ἑνετιῶν πόλει.

» Λόγῳ χρὴ τοὺς λόγῳ τιμηθέντας χρῆσθαι καὶ ἄνευ τούτου πράττειν μηδὲ λέγειν μηδέν. Ἧς οὖν ἤδη ἐξελέξασθέ με ἐκκλησίας ἐπίσκοπον ἀκυρῶσαι θέλων τὴν ψῆφον, ταύτης τὸν λόγον ἀποδοῦναι ὀφείλω τῆς πράξεως, ὃς δὴ ὑπὸ τῶν ἐξῆς περιέχεται.

» Πόθεν μὲν ὑμεῖς καὶ τίνος ἕνεκα τὰ καθ' ὑμᾶς ἀμέλει τοι τὴν τῆς ὑμετέρας ἐκκλησίας κατάστασιν τὸ σύνολον μὴ συνδιασκεψάμενοι ἐπὶ τούτῳ ὁρμήσαντες ἤγνητε, ὥστε μηδὲν εἰδότα με καὶ πόρρω ἀφ' ὑμῶν ὄντα πρόεδρον τῆς αὐτοῦ ἐκκλησίας τίτλον ἔχοντα, ὡς ἐγράψατε, τὸ «Φιλαδελφείας ἀρχιεπίσκοπος» ψηφίσασθαι, ἐγὼ μὲν συνιέναι οὐκ ἔχω, Θεὸς δὲ ὁ τὰ πάντα εἰδὼς καὶ ὑμεῖς αὐτοί οἱ ταῦτα οὕτως ἀπερισκέπτως πράξαντες οἴδατε· ἀλλὰ γὰρ ἔδει ὑμᾶς τοῖς προγεγονόσι, τοῖς τῶν τριακοσίων, φημί, Τυπάλδου καὶ Φακέου, σωφρονισθέντας ὑποδείγμασι παύσασθαι τοῦ λοιποῦ ἀφορμὴν παρέχειν τῷ τῆς ἀνομίας σκανδάλῳ· τί γάρ; οὐκ οἴδατε, ἢ μὴ εἰδέναι ὑποκρίνεσθε, ἢ εἰδότες παρορᾶν ἀξιοῦτε τὸ τῆς γαληνοτάτης Ἀριστοκρατίας θέσπισμα, τὸ ἐν ταῖς καθ' ἡμᾶς ἡμέραις, τὸ πρὸ τῆς ἐκλογῆς, φημί, τοῦ Φακέου γενόμενον; σαφῶς ἐκεῖνο καὶ διηκριβωμένως ἐντέλλεται, τὸν αὐτοῦ τῆς Φιλαδελφείας ἐπίσκοπον ὁμολογουμένως *καθολικὸν καὶ ἀποστολικὸν εἶναι* (ὅπερ ἐστὶ *τῆς Ῥωμαϊκῆς ἐκκλησίας μέλος*· τοῦτο γὰρ οἱ καθ' ἡμᾶς Ῥωμαῖοι τὸ *καθολικὸς* καὶ *ἀποστολικὸς* σημαίνειν βούλονται) *σύμβολον ἀποστολικὸν παραδεγόμενον* (οὐδέποτε τοῦτο ἡ καθολικὴ ἐκκλησία πέπηγα τῶν ἀποστόλων ἐγνώρισε) *καὶ τὴν ἐν Φλωρεντίᾳ στέργοντα σύνοδον*. Τίς οὖν τοσοῦτον νήπιος ταῖς ῥησὶν ἢ κωφὸς τὰ ὦτα ἢ τῆς ἐκκλησιαστικῆς ἱστορίας ἄγευστος καὶ τῶν τῆς Ἐκκλησίας θεσμῶν ἀμύητος, ὥστε μὴ συνορᾶν, ὡς ὁ ἐπίσκοπος οὗτος σὺν τῇ ὑφ' ἑαυτὸν ἐκκλησίᾳ τῆς Ῥωμαϊκῆς ἐστι καὶ μέλος καὶ τέκνον τὰ αὐτῆς νυμφευσάμενος φρονήματα, κἂν τῷ τῆς Ἀνατολικῆς ἔξωθεν ἑαυτὸν περικαλύπτῃ μανδύᾳ;

» Τούτων οὖν κειμένων, πῶς ὑμεῖς ἄνδρας τοῖς νόμοις τῆς Ἀνατολικῆς ἐκκλησίας καὶ δόγμασι καὶ γεννηθέντας καὶ τραφέντας καὶ ζῶντας καὶ γήσια αὐτῆς ἐπιδήλως τυγχάνοντας τέκνα, αὐτὴν μόνην μητέρα γινώσκοντας καὶ ὑπ' αὐτῆς υἱοὺς αὐτῆς γνωσκομένους νομίμους, οἷον τὸν ἀείμνηστον Νικηφόρον τὸν Κυθήρων ἐπίσκοπον τὸν οὐ διὰ λόγου ἀλλὰ δι' ἔργου, διὰ τῆς αὐτοῦ δῆθεν ἀποστροφῆς, ἄπρακτον καὶ ἄκυρον τὴν ὑμετέραν ἀναδείξαντα ψῆφον, κἀμὲ δὲ μετὰ τὴν ἐκείνου ἀποβίωσιν ἐκλέγειν καὶ ψηφίζειν καὶ καλεῖν τολμᾶτε τῆς αὐτοῦ Φιλαδελφείας ἐπισκόπους; Δυοῖν θάτερον ἐνδεχομένως σκοπεῖτε, ἤτοι τῆς ἰδίας μητρὸς τέκνα ἐναποσπᾶσθαι διισχυρίζεσθε δέλεαρ τὴν ἐπισκοπὴν προτιθέμενοι, ἢ τοὺς κρατοῦντας παραλογίσασθαι ἐπιτηδεύεσθε τὸ αὐτῶν παρορῶντες διάταγμα. Καὶ εἰ μὲν τὸ πρῶτον, πρὸς κέντρα λακτίζετε· εἰ δὲ τὸ δεύτερον, ἀδύνατα καὶ ἀνόσια βουλεύεσθε· εἰ δὲ τούτων οὐδέτερον, τὸν μυθευόμενον Ἰανὸν καὶ τὸν Βριάρεων καὶ τὸν Πρωτέα ἀναπλάττοντες ἕνα τινὰ ἐκ τῶν τριῶν τούτων συγκείμενον συγκροτῆσαι σπουδάζετε, ὅπως ἂν δύω μὲν ἔχων ὁ ὑμέτερος ἐπίσκοπος πρόσωπα, τὸ μὲν πρὸς ἀνατολάς, τὸ δὲ πρὸς δυσμὰς ἐγκαρσίως στρέφῃ, πολύχειρ δὲ ὢν τὰς μὲν ἐπὶ τὸν Κωνσταντινουπόλεως, τὰς δὲ ἐπὶ τὸν Ῥώμης ἐφαπλωμένας ἔχῃ· ταῖς δ' ἐπισυμβαινούσαις ποικίλαις περιστάσεσι πολιορκούμενος πάντα, ὅσα ἀνάγκη, ῥᾳδίως γίνηται τὰ χρήματα καὶ τὰ πράγματα ἑαυτόν τε καὶ τοὺς ἄλλους περιπλανῶν ὁ δείλαιος. Ἀλλὰ τὸν τοιοῦτον εἴτε τραγέλαφον, εἴτε κόθορνον, εἴτε τέρας ἀλλοπρόσαλλον, οὐδετέρα μὲν τῶν ἐκκλησιῶν ἴδιον γινώσκει, ἑκατέρα δ' εἰκότως ἀπωθεῖ καὶ μισεῖ εὐλογοφανῶς καὶ ἀποστρέφεται δικαίως. Ὑμεῖς δ' ἄρα οἱ τῶν τοιούτων τερατωδῶν ἀγαλμάτων δημιουργοί, τῶν ἀκλώστων κλωστῆρες καὶ τῶν ἀπλέκτων συμπλοκεῖς καὶ συγκολληταὶ τυγχάνετε τῶν ἀκολλήτων προφανέστατοι.

Ταῦτα οὖν προειδώς, καὶ γὰρ περιβεβλημένα εἰσὶ καὶ πασίδηλα καὶ ἐξάκουστα, ὅτε διὰ τῶν γραμμάτων ὑμῶν, τῶν ἐν ἔτει ᾳφοϐ' φεβρουαρ. 1ῃ τοσοῦτον ἀπροσδοκήτως τε καὶ αἰφνιδίως τὴν ὑμετέραν ἐπεδηλώσατέ μοι ψῆφον ἐπικεκυρωμένην ἤδη ὑπὸ τῆς ἐξοχωτάτης Γερουσίας, παραυτίκα ἀντὶ ἀποκρίσεως τὸ τῆς παραιτήσεως ἔγγραφον ὑμῖν πέμψαι διέγνων· ἀλλὰ τὸν νοῦν τῷ πράγματι περιεργότερον ἐπιστήσας καὶ ἐπισκεψάμενος, μή τί γε ἄρα, εἶπον, μαθήματα γεγόνασιν αὐτοῖς τὰ παθήματα καὶ Θεός ἐστιν ὁ καλῶν καὶ ἐλπὶς πάρεστιν ἐπανορθώσεως καὶ εὐάρεστος διὰ τῆς τοιαύτης ὑπουργίας Θεῷ καὶ τῇ γαληνοτάτῃ φανῶ, καθάπερ δὴ καὶ χρεών μοι, Ἀριστοκρατίᾳ, τούτων ἕνεκα οὐ παραίτησιν, ἀλλὰ συμβουλὴν ὑμῖν ἀπέστειλα. Ἡ δὲ ἦν, τὸ αὐτῇ ὑμᾶς προσπεσόντας τῇ γαληνοτάτῃ Ἀριστοκρατίᾳ παρ' αὐτῆς ἱκετικῶς ἕτερον αἰτήσασθαι θέσπισμα,

ἐπιτρέπον τῷ ὑμετέρῳ ἐπισκόπῳ τὴν τῶν δογμάτων καὶ νόμων καὶ ἐθίμων τῆς Ἀνατολικῆς ἐκκλησίας φυλακὴν καὶ τῷ τῆς Κωνσταντινουπόλεως ἀναγορεῦον αὐτὸν ὑποκείμενον Οἰκουμενικῷ πατριάρχῃ. Ὑμεῖς δὲ πονηρὰ ἀντὶ ἀγαθῶν καὶ δολιότητα ἀνταπεδώκατέ μοι ἀντὶ τῆς ἐμῆς ἁπλότητος καὶ ἀγαπήσεως· ἐπιστολὴν γὰρ ἀπατηλὴν ἀποστείλαντές μοι καὶ δολίαν ταύτην οἰκειοποιηθῆναί με προτρεψάμενοι παρεκαλέσατε δι' αὐτῆς τυχεῖν ἐπαγγειλάμενοι τοῦ παρ' ἐμοῦ μὲν εἰσηγηθέντος, ὑμῖν δέ, ὡς ἐλέγετε, λίαν ποθητοῦ καὶ περισπουδάστου θεσπίσματος. Αὐτῆς δὲ τὸν νοῦν ἀναπτύξας ἐγὼ ὑπ' ὄψιν ὑμῖν παρέθηκα τὰ ἐν αὐτῇ ἐμπερικεκαλυμμένα μεγάλα ἀτοπήματα, ἀντὶ δὲ τοῦ οἰκειοποιηθῆναί με ἀναθέματι αὐτὴν καθυπέβαλον. Ἔκτοτε οὖν ὑμεῖς μὲν μεταμεληθέντες ἐφ' οἷς παρ' ἐμοῦ ἠτήσατε, εὐέλπιδες γεγόνατε, ὡς ἐγράψατέ μοι, καὶ τῆς προδιαληφθείσης δίχα ἐπιστολῆς τοῦ ποθεινοτάτου τυχεῖν ἀριστοκρατικοῦ θεσπίσματος, ἐγὼ δὲ ἰδίῳ μισθώματι ἐν ξένῃ καὶ ἀλλοεθνεῖ γῇ καθήμενος καὶ πᾶν εἴ τι ἂν τις προὐτίθη παρορῶν, τὴν ἔκδασιν κατὰ τὰς ὑμετέρας περιέμενον ἐπαγγελίας γράφων πυκνῶς καὶ νουθετῶν καὶ ἐπὶ τὰ τῇ ἐπανορθώσει ὑμῶν συντείνοντα ὅση δύναμις ὑπαλείφων. Ἐπεὶ δὲ τέως γε μετὰ δύω ἔτη καὶ μῆνας πέντε, εἴτουν τῇ η' τοῦ παρεληλυθότος ἰουνίου, ἐπιστείλαντές με ἐδηλώσατε, μηδεμίαν ἔτι ὑμῖν καταλειφθῆναι ἐλπίδα τοῦ τυχεῖν τοῦ σκοπουμένου, οὐδ' ἐμοί ἕτερον κατελείφθη οὐδὲν μετὰ τὰς τοσαύτας ὑπὲρ τῆς σωτηρίας ὑμῶν ὑποθήκας εἰμὴ ἡ παραίτησις.

» Ἐπεὶ γὰρ ἡ γαληνοτάτη Ἀριστοκρατία ὁμολογητὴν εἶναι τῶν ἐν τῇ φλωρεντινῇ συνόδῳ ὁρισθέντων τὸν ἐπίσκοπον ὑμῶν ἅπαξ θεσπίσασα ἀμεταθέτως τῶν ἐν αὐτῇ δοξάντων ἀντέχεται, τί ἄρα ποιῆσαί με ἔδει τὴν ἐπισκοπὴν ἀνασδεξάμενον ὑπὲρ τῆς ὑμῶν τάχα σωτηρίας; στέρξαι τὰ ἐν τῷ φλωρεντινῷ συλλόγῳ; ἀλλὰ τοῦτό ἐστι τῆς Ἀνατολικῆς ἀποστῆναι ἐκκλησίας· καὶ γὰρ ἐκεῖνα ἀποστρέφεται αὕτη καὶ ἐπιτιμίοις καθυποβάλλει καὶ ἀλλοτρίους αὐτῆς τοὺς παραδεχομένους ἡγεῖται· μὴ στέρξαι; ἀλλὰ τοῦτο ἀδύνατον· οὐ γὰρ μάτην οἱ τῶν κρατούντων κεῖνται νόμοι καὶ ἐκδίδονται καὶ μάλιστα, ἐπειδὰν ὑπ' αὐτῶν ἐνισχύωνταί τε καὶ ἐπιστηρίζωνται. Τί οὖν ἔδει με ποιῆσαι; ὁμόσαι μὲν τοῖς χείλεσιν, ἀνώμοτον δὲ τηρῆσαι τὴν φρένα, καὶ ἕτερον μὲν εἶναι τὴν γλῶσσαν, ἕτερον δὲ τὴν δόξαν; τί δὲ τοῦτό ἐστι πρὸς τῇ ἀτιμίᾳ, εἰ μὴ τὸ μυκτηρίζειν Θεόν, τὸν μηδέποτε μυκτηριζόμενον, καὶ τὴν γαληνοτάτην ἐμπαίζειν Ἀριστοκρατίαν, ἣν καὶ Θεὸς καὶ νόμοι τιμᾶν με διδάξαντες καὶ τιμῶ καὶ ὅσον εἰκὸς σεβάζομαι; Ὁρᾶτε ποῖ καταρράσσετέ με ἐπαίροντες;

» Τούτων οὖν ἕνεκα παραιτοῦμαι τῆς ὑμετέρας ἐκκλησίας εἴτε προεδρείαν, εἴτε ἐπισκοπήν, εἴτε προεδρείαν μετὰ τίτλου, ὡς λέγετε, τῆς ἐπισκοπῆς τῆς Φιλαδελφείας, ἥς ἐξελέξασθέ με ἐπισκοπεύειν, τὴν ἐκλογὴν αὐτὴν καὶ τὴν ἐπ' ἐμοὶ ὑφ' ὑμῶν ἐνεχθεῖσαν ἀκυρῶν ψῆφον, καὶ τοὔνομα αὐτό, εἴτουν τὸ Φιλαδελφείας ἀρχιεπίσκοπος, ὅπερ ἐπιθέντες με καὶ ἐλέγετε καὶ ἐγράφετε, σὺν ὑμῖν δὲ καὶ ἄλλοι ἐντύπως, ἀθετῶν καὶ ἀπ' ἐμοῦ ἀποτινάσσων· τέκνον γὰρ τῆς Ἀνατολικῆς ἐκκλησίας καὶ ὁμολογητὴς τῶν ἐν τῷ φλωρεντινῷ συλλόγῳ πραχθέντων οὐδεὶς ἂν γένοιτό ποτε, εἰ μή τις ἄρα ὑποκριτὴς ἢ καὶ πλάνος καὶ ψεύστης, μήτε Θεὸν φοβούμενος, μήτε ἀνθρώπους ἐντρεπόμενος, ἀλλ' ὁτὲ μὲν τοῦτο, ὁτὲ δὲ ἐκεῖνο, ὡς ἡ ἀνάγκη καὶ ὁ καιρὸς ἀπαιτεῖ, καθυποκρινόμενος, μηδέτερον δὲ τούτων ὤν, ἅτε δὴ ἑκάτερον εἶναι μὴ δυνάμενος· καὶ γὰρ ἀσύμβατα ταῦτα καὶ ἀσύγκλωστα, ὡς ὁ λόγος πείθει, καὶ ἡ ἀλήθεια διδάσκει, καὶ τὰ πράγματα ἐμφαίνει, καὶ αὐτὴ δὲ ἡ πεῖρα οὐ πρὸ πάνυ πολλοῦ αὐτάρκως ὑμῖν ἐναπέδειξεν.

» Ὁ δὲ Θεὸς ὁ δίκαιος καὶ ἀληθινός, ὁ εἰδὼς οἷον ὑπὲρ τῆς σωτηρίας ὑμῶν ἀπ' ἐκείνης τῆς ὥρας, ἀφ' ἧς ἡ ὑμετέρα ψῆφος ἐπεγνώσθη μοι, ἀνέλαβον ἀγῶνα καὶ τὴν πολυχρόνιόν μου περιμονὴν καὶ ὑπομονὴν καὶ τὰς δι' αὐτὴν δαπάνας καὶ τὰς ζημίας καὶ ὡς μηδὲν διαστειλάμενος τὴν ἀλήθειαν ὑμῖν πολλάκις διὰ γραμμάτων ἐφανέρωσα, τὴν ἀσφαλεστάτην τῆς ἐπανορθώσεως ὑμῶν ὑποδείξας ὁδὸν καὶ πάντα ὅσα ἦν ἐπ' ἐμοὶ ὑπὲρ αὐτῆς προθύρως ποιήσας, καὶ ὅτι δι' ἕτερον οὐδὲν παραιτοῦμαι καὶ ἀναχωρῶ, εἰμὴ δι' οὓς ἐκτίθεμαι λόγους, δῴη μοι ἀντὶ πάντων ἔλεος εὑρεῖν ἐν ἐκείνῃ τῇ ἡμέρᾳ. Ἐγράφη ἐν Βρατισλαυίᾳ, ἔτει ,ᾳφοϐ', ἰουλίου ι'.

» Ἡ ἐξῆς δὲ καὶ οὐκ αὐτὴ ἐπέμφθη.

Stimatissimi

Signori Procuratori Colmi

» La lunga esperienza avendo dimostrato di levave li ostacoli noti rinunzio all'episcopale prelatura di

quella chiesa, nella quale già quatro anni sono stato eletto, ed abbi questa mia lettera tutto il valore, che puo aveve ogni rinunzia scritta con tutte le pupliche formalità.

» Julli 1775 a. d. 6 Novembre.

» *Alli stimatissimi Sig^ri miei P^ni col^mi il signori Nicolo Canelli Guardiano e li rimanenti Bancali della chiesa di San Giorgio di Greci* ».

—

[*Τὰ μετὰ ταῦτα*].

« Ἐπεὶ βούλει τὸν αὐτῇ καταμαθεῖν ὅτῳ τρόπῳ ᾠκονομήθη παρὰ τῆς Ἐκκλησίας τὰ περὶ τοῦ πραχθέντος εἰς τὴν ἐπωνυμίαν τῆς ἁγιωτάτης μητροπόλεως Φιλαδελφείας καὶ ἀποκαταστάντος μητροπολίτου ἐν Ἑνετίᾳ εἰς πνευματικὴν ἐπίσκεψιν καὶ ποιμαντορίαν τοῦ ἐκεῖσε καὶ εἰς τὰ πέριξ σωζομένου θείᾳ συνάρσει ὀρθοδόξου λαοῦ καὶ πληρώματος, ἰδοὺ πληροῦντες τὰ τῆς ἐπιθυμίας της καὶ περιέργου ὀρέξεώς της διαζωγραφοῦμεν τῷ λόγῳ οὐσιωδῶς καὶ ἐν περιλήψει τὰ τῆς ἐκκλησιαστικῆς οἰκονομίας καὶ πράξεως ἐπὶ τῇ προκειμένῃ ταύτῃ ὑποθέσει. Γινωσκέτω οὖν, ὅτι οἱ ἐκεῖσε κάτοικοι ὀρθόδοξοι πρὸ χρόνων τινῶν ἐν στερήσει διατελοῦντες ἀρχιερατικῆς προστασίας καὶ ἐπισκέψεως διὰ τὰ τότε συμβάντα καὶ οὐκ ἀνεκτὸν ἡγούμενοι ἀπολιμαντοι εἶναι καὶ διαμένειν, ἔγραψαν ἅπαξ καὶ δὶς πρὸς τὴν Ἐκκλησίαν, ζητοῦντες ἀποκατασταθῆναι εἰς πνευματικὴν αὐτῶν ἐπίσκεψιν λόγῳ μεταθέσεως ἐπὶ τῇ ἐπωνυμίᾳ τῆς Φιλαδελφείας τὸν θεοφιλέστατον ἀρχιεπίσκοπον Κεφαλληνίας καὶ Ζακύνθου κὺρ Σωφρόνιον, ἀρχιερέα ὀρθόδοξον, μεμαρτυρημένον ἐπὶ ὀρθότητι πίστεως καὶ βίου σεμνότητι, χρόνους ἱκανοὺς ἀρχιερατεύοντα ἐν τῇ ἀρχιεπισκοπῇ ταύτῃ καὶ μηδέποτε κακῶν ὑπόνοιαν δόντα περὶ παράτροπῆς εἰς τὰ κατὰ τὴν εὐσέβειαν, ὃς δὴ καὶ ἔγραψε πρὸς τὴν ἐκκλησίαν τὴν ἀναδοχὴν ἀποστέργων καὶ ἀποποιούμενος καὶ ἅμα διατηρήσειν τὰ τῆς ὀρθοδοξίας, ὡς ἀπ' ἀρχῆς, οὕτω καὶ μέχρι τελευταίας αὐτοῦ ἀναπνοῆς προεπαγγελλόμενος· Σκέψεως οὖν ἀκριβοῦς γενομένης περὶ τῆς ὑποθέσεως ταύτης τελευταῖον ἐξηνέχθη συνοδικὴ ἀπόφασις γενέσθαι μὲν τὴν τῶν χριστιανῶν αἴτησιν, οὐχ ἁπλῶς μέν τοι γε καὶ ἀπολύτως, ἀλλὰ τρόπῳ τοιῷδε ἐσκεμμένῳ καὶ ἀσφαλεῖ. Ἐξεδόθη ἡ πατριαρχικὴ ἔκδοσις τῆς μεταθέσεως καὶ τοῦ προβιβασμοῦ αὐτοῦ πρὸς τὸν Λευκάδος καὶ ἁγίας Μαύρας, κἀκεῖνον ὀρθόδοξον καὶ ὑπὸ τοῦ οἰκουμενικοῦ τούτου θρόνου προκεχειρισμένον, διὰ νὰ προσκαλέσῃ τοὺς ἐπισκόπους τούτους, τὸν δὲ Δρυανουπόλεως καὶ Ἀργυροκάστρου καὶ τὸν Χειμάρρας καὶ Δελβίνου εἰς τὸ νὰ ἐκτελέσωσι τὴν μετάθεσιν. Ἐγράφησαν δὲ δύο ἐπιστολαὶ πατριαρχικαὶ καὶ συνοδικαί, ἡ μία πρὸς τοὺς ἐκτελέσοντας τὴν μετάθεσιν, δι' ἧς ἐπιστολῆς προστάζονται νὰ παραστήσωσιν αὐτὸν ἔμπροσθεν τῆς ἱερᾶς τοῦ Χριστοῦ εἰκόνος καὶ δι' ὠμοφορίου καὶ ἐπιτραχηλίου νὰ τὸν ὁρκίσωσιν εἰς τὸ φοβερὸν τοῦ Χριστοῦ λογοθέσιον, νὰ φυλάξῃ ἀπαράτρωτα, ἀπαράτρεπτα καὶ ἀπαρεγχείρητα τὰ τῆς ὀρθοδοξίας καὶ τῆς ἀμωμήτου ἡμῶν πίστεως μέχρι κεραίας αὐτῆς, καὶ ἄλλα τοιαῦτα σεμνὰ καὶ τίμια ἐντάλματά τε καὶ παραγγέλματα περιεῖχεν ἡ πρὸς αὐτοὺς ἐπιστολή· ἡ ἄλλη πρὸς αὐτὸν τὸν προβιβασθησόμενον, ὁρκίζουσα αὐτὸν εἰς τὸν Θεὸν νὰ φυλάξῃ καθαρὰν τὴν ἰδίαν αὐτοῦ συνείδησιν καὶ νὰ μὴ προδώσῃ ἢ λόγῳ ἢ ἔργῳ τὸ πάτριον σέβας καὶ τὴν εὐσέβειαν, οὔτε ψιλῇ γοῦν ἐπινοίᾳ, ὃ λέγεται, νὰ μὴ παρατραπῇ ἀπὸ τῶν ὀρθῶν δογμάτων τῆς Ἀνατολικῆς ἐκκλησίας, οὔτε νὰ διαγνωρίσῃ ἄλλον κύριον καὶ ἐξουσιαστὴν καὶ δεσπότην καὶ κυριαρχικὴν ὑπεροχὴν κεκτημένον ἐπ' αὐτῷ ἐξουσίαν καὶ δεσποτείαν, εἰμὴ μόνον καὶ μόνον τὸν κατὰ καιροὺς Οἰκουμενικὸν πατριάρχην. Περιεῖχε δὲ καὶ ἀπειλὰς μεγάλας κατ' αὐτοῦ ἡ ἐπιστολὴ αὕτη, ὡς εἴ γέ ποτε παρατραπῇ καὶ ἐκκλίνῃ ἀπ' εὐθείας ὁδοῦ καὶ φωραθῇ βαδίζων τὴν ἐναντίαν, θέλει παιδευθῆ ἐσχάταις παιδείαις, καὶ ὅτι ἡ Ἐκκλησία θέλει ἐκτείνει κατ' αὐτοῦ καὶ σπάσει τὴν ἐξηκονημένην πνευματικὴν ῥομφαίαν καὶ μάχαιραν εἰς κατατομὴν αὐτοῦ, καὶ ἄλλα τοιαῦτα φρίκης ἀνάμεστα ἐγράφησαν πρὸς αὐτὸν παρὰ τῆς Ἐκκλησίας. Οὕτως ᾠκονομήθη σεμνῶς καὶ τιμίως καὶ μετὰ προσοχῆς τὰ τῆς ὑποθέσεως ταύτης, ἃ καὶ δηλοῦμεν αὐτῇ πρὸς πληροφορίαν της.

Σημ. Αὕτη ἡ ἐπιστολὴ ἐστάλθη ἀπὸ Κωνσταντινούπολιν ἀπὸ τὸν μητροπολίτην ἅγιον Δέρκων πρὸς τὸν θεοφιλέστατον ἐπίσκοπον Ἀμυκλῶν κὺρ Κύριλλον εἰς Χερσῶνα.

—

Τῷ παναιερωτάτῳ ἀρχιεπισκόπῳ κυρίῳ Νικηφόρῳ τῷ Θεοτόκῃ.

« Πάντα σχεδὸν ἐκομισάμην τὰ ὑμῖν ἀπ' ἀρχῆς μέχρι τέλους περὶ τῆς Φιλαδελφείας συγκύραντα, δῆλον ὅτι τὰ πρὸς τοὺς ἐν Ἑνετίαις ὀρθοδόξους συμβουλευτικὰ γράμματα, πῶς περικαθάραι δεῖ τῆς παπικῆς ἀγωνίζεσθαι κηλίδος τὴν ἰδίαν αὐτῶν ἐκκλησίαν καὶ οὕτω νύμφην σαυτῷ ἀγαγέσθαι πάσης ὑπερτέραν ῥυτίδος καὶ ῥώμου καὶ τὰ πρὸς τοὺς οἰκείους ὑμῖν ἐν τέλει παριστῶντα τούς θ' ὑπὲρ αὐτῆς ὑμῶν ἱδρῶτάς τε καὶ καμάτους καὶ πᾶσαν τὴν οἰκτρὰν ἐκείνης κατάστασιν· ἐπὶ δὲ τούτοις τε καὶ σὺν τούτοις τὴν ἰδίαν τελευταῖον ὑμῶν ἐκομισάμην παραίτησιν διὰ τὸ ἀπάλλακτον ὅλως αὐτῆς τῶν παπικῶν ἀρκύων, ὡς ἐν τοῖς ἀριστοκρατικοῖς ὁρᾶτε δεκρέτοις.

» Ἀλλ' ἐπείπερ, θειότατε δέσποτα, ἕτερον κατ' αἴτησιν δέδοται τοῖς ἐκεῖσε Γραικοῖς δεκρέτον, καθ' ὃ ὁ ἐκ Κεφαλληνίας προέστη, δέομαί σου, ἀδεκάστως δεκάσας γνώρισόν μοι ἀριδηλότατα, πότερον, ἀπήλλακται τὸ δεκρέτον ἐκεῖνο τῶν ἐμμέσως (εἶτουν διὰ τοῦ τῆς Φιλαδελφείας προέδρου) ἐνούντων τὴν Δυτικὴν ἐκκλησίαν μετὰ τῆς Ἀνατολικῆς ἐπιχειρημάτων, ἢ οὔ; Προείληφε δὲ ἀσφαλῶς, ὡς μοι ἔγνωσται, οὐ τὸ δεκρέτον μόνον ἀλλὰ καὶ τὴν ἐμὴν μετὰ τοῦ μακαρίτου Νεοφύτου εἰς τοῦτο ψῆφον ἡ ὑμετέρα πανιερότης, ἧς καὶ αἱ θεοπειθεῖς εὐχαὶ εἴησάν με περιφρουροῦσαι ἀπὸ πάσης ἐπηρείας καὶ περιστάσεως».

—

Ἀπόκρισις τοῦ παναιερωτάτου ἀρχιεπισκόπου κυρίου Νικηφόρου τοῦ Θεοτόκη τῆς προλαβούσης ἐπιστολῆς πρὸς τὸν ἱεροσοφολογιώτατον κύριον διδάσκαλον Δωρόθεον τὸν Βουλισμᾶν.

« Ἀδεκάστως δικάσαντα ἀριδηλότατα γνωρίσαι σοι ἀξιοῖς με, πότερον ἀπήλλακται τὸ δεκρέτον ἐκεῖνο, ἀμέλει τοι τὸ μεταγενέστερον, τὸ ἐν ἔτει ᾳψπ', τῶν ἐμμέσως εἴτουν διὰ τοῦ τῆς Φιλαδελφείας προέδρου ἑνούντων τὴν Δυτικὴν ἐκκλησίαν μετὰ τῆς Ἀνατολικῆς ἐπιχειρημάτων, ἢ οὔ; Λύτὸς δὲ ταῦτ' ἀναγνοὺς ἐθαύμασα περὶ τοῦ εἴπερ ὅλως εἰσί τινες περὶ τούτου ἀληθῶς ἀπορεῖν δυνάμενοι καὶ γνωρίσματα ζητοῦντες ἀριδηλότερα τῶν ὧν τοῦτο αὐτὸ περιέχει τὸ προτεινόμενον δεκρέτον.

» Λύτό, ἐλλογιμώτατε ἱεροδιδάσκαλε, παραπέμπει, ὡς οἶδας, ἐν τῷ δεκρέτῳ τῷ κατὰ τὸ ᾳψξα' ἔτος ἐπὶ Φακέου ἐκδοθέντι, καλοῦν αὐτὸ statutario, εἴτουν καταστατικόν, ὅπερ ἐστὶ τῆς καταστάσεως τῆς ἐκκλησίας ἐκείνης συστατικὸν καὶ διοριστικὸν καὶ θεμελιῶδες, καὶ κελεῦον πάντα τὰ τούτου μέρη διατηρηθῆναι ἐκτὸς μόνου τοῦ ὅρκου. Ἰδού σοι αὐτὰ τοῦ δεκρέτου λόγια. « Στερεὰ οὖσα ἡ Γερουσία πρὸς τὸ διατηρεῖν τὰ συνεχῆ ἀποτελέσματα τῆς προστασίας αὐτῆς τῆς πρὸς τὸ αὐτὸ Γένος, ἐπικυρωθέντος ὅμως τοῦ κατὰ ᾳψξά ἔτος, δεκεμβρίου λά, καταστατικοῦ δεκρέτου κατὰ πάντα τὰ μέρη αὐτοῦ, ἐκτὸς ἐκείνου τοῦ ὑπόχρεως καθιστῶντος τοὺς Γραικοὺς ὁρκωμοσίᾳ τινί, μηδέποτε ἐνεργηθείσῃ μηδὲ δυναμένῃ ἀληθεῦσαι, ὡς πεῖρα ἔδειξεν, ἀποφαίνεται, ὅτι κατὰ τὸν ῥυθμόν, κτλ. »

» Ἐπειδὴ οὖν, ὅσα τὸ μεταγενέστερον τοῦτο δεκρέτον θεσπίζει, ἐπὶ τῷ θεμελίῳ τοῦ καταστατικοῦ αὐτὰ ἐποικοδομεῖ, τοῦ ὅρκου ἐξῃρημένου, δῆλον καὶ κωφῷ, ὡς ἡ παροιμία, ὅτι τοιοῦτον καὶ νῦν θέλει ἡ Ἀριστοκρατία τὸν ἐκεῖ Γραικὸν ἐπίσκοπον, οἷον διὰ τοῦ καταστατικοῦ πρότερον αὐτὸν ὥρισεν εἶναι καὶ ἐθέσπισε πλὴν τοῦ ὅρκου· ἀνάγκη ἄρα τῷ καταστατικῷ, κανόνι ὄντι καὶ γνώμονι, ἡμᾶς τὸν νοῦν ἐπιστῆσαι. Ἐν αὐτῷ οὖν ὁρῶμεν πρῶτον προτεινομένην τὴν ἁγιωσύνην τοῦ πάπα Κλήμεντος XI συμβουλεύουσαν ἀρχιεπίσκοπον Φιλαδελφείας ἐκλεχθῆναι εἰς τὸν τόπον τοῦ Τυπάλδου· δῆλον δέ, ὅτι τοῦτο οὐ μάτην προτείνεται, ἀλλ' ὅπως ἂν ἕκαστος εἰδέναι ἔχῃ, ὅτι τὸν ὑποψήφιον τῆς τοῦ συμβουλεύοντος Πάπα κοινωνίας τε καὶ ὑπακοῆς ἄνδρα χρὴ εἶναι, οὐ μὴν ἀλλὰ καὶ τῆς τοῦ προκατόχου αὐτοῦ Τυπάλδου ἀποσασίας γνήσιον καὶ νόμιμον διάδοχον· δεύτερον δὲ ἐν τοῖς χαρακτῆρσι τοῦ ἐκλεχθησομένου τὸ ἐμφαντικώτατον καὶ ἐπισημότατον γνώρισμα οὕτως ἔχον· « *ἐκλεχθήσεται Φιλαδελφείας ἀρχιεπίσκοπος μετὰ τὸ ἀποδεῖξαι τὴν ἑαυτοῦ καθολικότητα τῇ ἐπωμοσίᾳ εἰς τὸ ἀποστολικὸν σύμβολον καὶ τοὺς ὅρκους τῆς πίστεως τῆς οἰκουμενικῆς ἐν Φλωρεντίᾳ συνόδου* ».

